4° H. eccl. 3148

Josephus

# DIEM NATALEM

AVGVSTISSIMI ET POTENTISSIMI PRINCIPIS

# GVILELMI II

IMPERATORIS REGIS

AB

## ACADEMIA MARPVRGENSI

DIE XXVII. M. IANVARII ANNI MDCCCXCV HORA XI

ORATIONE IN VNIVERSITATIS AVLA HABENDA

**CELEBRANDVM**

INDICIT

THEODORVS BIRT

PHIL. DR. PHILOLOGIAE ET ELOQVENTIAE P. P. O.
SEMINARII PHILOLOGI DIRECTOR

---

Inest Iosephi epitomae adhuc ineditae pars octava a BENEDICTO NIESE
historiae antiquae et philologiae P. P. O. prolata.

---

MARPVRGI
TYPIS ACADEMICIS ROBERTI FRIEDRICH

Universitäts Bibliothek München
AD BIBL. UNIVERS. MONAC.

# Praefatio.

In edenda hac epitomae Flavianae parte octava usus sum primum codice Busbekiano, deinde Berolinensi, partim denique adhibitus est Laurentianus, quorum Laurentianum contulit Philippus Braun, Busbekiani partem Godofredus Zedler, Berolinensem liberaliter huc missum ipse excussi. iam de hoc pauca addenda sunt eis, quae proximo anno parti huius editionis septimae praemisi. Berolinensis igitur cum recentissimus sit, refertus est omnium generum corruptelis, quarum pars non recte intellectis orta est compendiis, qualia nunc quoque in eo non pauca extant. interdum vocabula quaedam omissa sunt, velut p. 291, 21; 300, 4. apparet igitur Busbekianum et Laurentianum Berolinensi et antiquiores esse et ab homine multo doctiore exaratos. nihilominus huius codicis virtus, de qua in proximo fasciculo dixi, etiam in his libris cernitur, velut p. 294, 26, p. 298, 18, p. 314, 19, p. 324, 21 recte tradit a Busbekiano omissa aliisque locis aut vera aut minus corrupta servavit. at consensus cum Zonara epitomae teste antiquissimo, de quo olim dixi, in his libris minor est, cum interdum longius ab eo recedat. vide p. 298, 15, p. 306, 19, p. 308, 19.

Insignes in his qui infra sequuntur libris loci sunt quattuor, ubi in codicibus quos novimus verba quaedam omissa sunt p. 300, 3, p. 301, 24, p. 311, 1 et 11. his locis omnibus Busbekianus lacunam significavit spatio aliquot litteris vacuo relicto, nec minus p. 300, 3; 301, 24 Laurentianus. denique Berolinensis quoque bis lacunam tradit p. 300, 3 et 311, 1, eiusmodi tamen, ut eius spatium valde imminutum sit; duobus locis reliquis in eo lacuna non extat, quam temporis decursu a librariis paullatim imminutam et deinde omissam esse puto; neque enim dubito, quin olim in Berolinensis auctoribus eadem illis locis omnibus lacuna extiterit atque in Busbekiano. eis quae dixi demonstratur Busbekiani et Laurentiani et Berolinensis auctorem fuisse communem, in quo vocabula quaedam, cum aut evanuerint aut intellegi non possent, omissa sint relicto tamen spatio vacuo. et maligno quodam casu accidit, ut in eorum quos dixi locorum uno p. 311, 1 (XVIII 140) interiret nomen regionis Ciliciae *Κιητίδος* aut *Κητίδος*, quod in Iosephi libris corruptum nuper optime restitutum est ab Wilhelmo (*Archäologisch-epigraphische Mittheilungen aus Oesterreich* XVII 5 f.), quod librarii omisisse videntur cum corruptum esset neque intellegerent, quid sibi vellet; quo factum est, ut nunc nesciamus quale id legerit auctor epitomae.

Memorabilis est alius locus p. 319, 15 (XVIII 252), ubi in Busbekiano fertur *γαλατίας;* idem exhibet Berolinensis correctum ex *γαλιλαίας*. hoc enim *γαλιλαίας* traditur etiam in Iosephi codice *M*, cum in reliquis sit *γαλλίας*. ac potest consensus inter Berolinensis manum primam et codicem *M* casu accidisse. reputandum tamen est, num forte epitomae codices ex Iosephi libris interdum correcti sint, id quod fortasse aliis quoque locis accidit. sed haec res in aliud tempus differenda est.

In adnotatione posui Busbekiani et Berolinensis et Laurentiani discrepantias omissis tamen plerumque corruptelis vulgaribus, veluti si forte *ο* pro *ω* et *ι* pro *ει* aut *η* positum erat, aliisque vitiis, quibus scatet maxime Berolinensis.

Dabam Marburgi pridie id. Ian. 1895.

**Benedictus Niese.**



Zonaras I p. 466 Bonn.

*νομιμώτερόν τε ἅμα καὶ καθαρὸν ἀρχιερᾶσθαι ἄνδρα. τούτοις Ἀρχέλαος καίπερ δεινῶς* 208
*φέρων ἐπένευε τὴν ὁρμὴν αὐτῶν ἐπέχων διὰ τῆς ἐπὶ Ῥώμης ὁδοῦ ἀνύεσθαι προκειμένης*
*αὐτῷ ἐπὶ περισκοπήσει τῶν δοξάντων Καίσαρι. πέμψας τὲ τὸν στρατηγὸν πειθοῖ* 209
*χρῆσθαι ἐκέλευεν, ὡς τῆς ἐπὶ τοιούτοις τιμωρίας ἀποστάντας σκοπεῖν θάνατόν τε, ὃς τοῖς*
*φίλοις αὐτῶν συνέλθοι, μετὰ νόμον γεγονότα, καὶ τὰς αἰτήσεις ὡς ἐπὶ μέγα τοῦ ὑβρίζειν*
*προΐοιεν, τούς τε καιροὺς οὐκ ἐν τοιοῖσδε εἶναι, μᾶλλον δ' ἐν τῷ ὁμονοεῖν ἕως καταστη-*
*σάμενος τὴν ἀρχὴν ἐπινεύσει τῇ Καίσαρος ἀφίκοιτο ὡς αὐτούς· τότε γὰρ κοινῇ βουλεύσειν*
*περὶ ὧν ἀξιοῖεν σὺν αὐτοῖς· ἄρτι δὲ ἀνέχειν, ὡς μὴ στασιάζειν δοκοῖεν. καὶ ὁ μὲν ταῦτα* 210
*ὑπειπὼν καὶ διδάξας τὸν στρατηγὸν ἐκπέμπεται πρὸς αὐτούς. οἱ δὲ λέγοντες λέγειν τὲ*
*οὐκ εἴων καὶ εἰς κίνδυνον ἐκεῖνον τὲ καθίστασαν καὶ τῶν ἄλλων ὅστις γε ἐπὶ σωφρονισμῷ*
*καὶ ἀποτροπῇ τῶν τοιῶνδε ὀριγνᾶσθαι τολμώντων τί φθέγξαιτο. πολλῶν δὲ ὑπ' Ἀρχελάου* 212
*πεμπομένων, οἳ διαλέξοιντο αὐτοῖς, τῶν δὲ οὐχ ὡς ὑπ' ἐκείνου, γνώμῃ δὲ τῇ αὐτῶν*
*παριέναι δοκούντων, ὅπως εἰς τὸ πραΰτερον καταστήσονται αὐτούς, οὐδενὸς ἠνείχοντο*
*εἰπεῖν φανεροί τε ἦσαν ἐπὶ μέγα αὐξήσοντες τὴν στάσιν πλήθους ἐπισυρρυέντος αὐτοῖς,*
*ἐνστάσης κατὰ τόνδε τὸν καιρὸν ἑορτῆς, ἐν ᾗ Ἰουδαίοις ἄζυμα προτίθεσθαι πάτριον·* 213
*πάσχα δὲ ἡ ἑορτὴ καλεῖται ὑπόμνημα οὖσα τῆς ἐξ Αἰγύπτου γενομένης ἀπάρσεως, καὶ*
*θύουσιν αὐτὴν προθύμως πλῆθος τὲ ἱερείων ὡς οὐκ ἐν ἄλλῃ κατακόπτειν ἐστὶν αὐτοῖς*
*νόμιμον· κάτεισι δὲ πληθὺς ἀναρίθμητος ἐκ τῆς χώρας, ἤδη δὲ ἐκ τῆς ὑπερορίας ἐπὶ* 214
*θρησκείᾳ τοῦ θεοῦ, καὶ οἱ νεωτερισταὶ τοὺς περὶ τὸν Ἰούδαν καὶ Ματθίαν τῶν νόμων*
*ἐξηγητὰς ὀδυρόμενοι συστάντες ἐν τῷ ἱερῷ τροφῆς εὐποροῦνται τοῖς στασιώταις οὐκ ὂν*
*αἰσχύνῃ μεταιτεῖν αὐτήν. καὶ δείσας Ἀρχέλαος, μὴ καί τι δεινὸν βλαστήσειεν αὐτῶν τῇ* 215
*ἀπονοίᾳ, πέμπει σπεῖραν τὲ ὁπλιτῶν χιλίαρχόν τε τὴν ὁρμὴν τῶν στασιαζόντων καταστεῖλαι*
*πρὸ τοῦ τὸν πάντα ὅμιλον τοῦ μανιώδους αὐτῶν πλέω καταστῆναι, καὶ εἴ τινες διάδηλοι πολὺ*
*τῶν ἄλλων καθίστανται προθυμίᾳ τοῦ στασιάζειν ἐπ' αὐτὸν ἄγειν. ἐπὶ τούτοις οἱ στασιῶται* 216
*ὥστε καὶ τὸ πλῆθος ἐξαγριῶσαι βοῇ καὶ διακελευσμῷ χρώμενοι ὥρμησάν τε ἐπὶ τοὺς*
*στρατιώτας καὶ καταλεύουσι τοὺς πλείστους αὐτῶν, ὀλίγοι δέ τινες καὶ ὁ χιλίαρχος τραυ-*
*ματίαι διέφυγον. καὶ τοῖς μὲν ταῦτα πράξασι διὰ χειρῶν αὖθις ἡ θυσία ἦν· Ἀρχελάῳ* 217
*δὲ ἄπορον ἐδόκει σώζεσθαι τὰ πάντα, εἰ μὴ ἀνακόψει τὴν ἐπὶ τοῖσδε ὁρμὴν τῆς πληθύος,*
*ἐκπέμπει δὲ πᾶν τὸ στρατόπεδον καὶ τοὺς ἱππεῖς, οἳ τούς τε αὖθις ἐσκηνωκότας κωλύοιεν*
*τοῖς κατὰ τὸ ἱερὸν βοηθεῖν καὶ τοὺς ἐκπίπτοντας ὑπὸ τῶν πεζῶν δέχοιντο. καὶ εἰς μὲν* 218
*τρισχιλίους ἄνδρας ἔκτειναν οἱ ἱππεῖς, τὸ δὲ λοιπὸν ᾤχετο ἐπὶ ὄρη τὰ πλησίον ἰόντες.*
*ἐκήρυσσε δὲ Ἀρχέλαος ἀναχωρεῖν ἐπὶ τὰ αὐτῶν πᾶσιν. οἱ δὲ ἀπῄεσαν τὴν ἑορτὴν κατα-*
*λιπόντες φόβῳ κακοῦ μείζονος καίπερ θρασεῖς ὄντες διὰ τὸ ἀπαίδευτον. Ἀρχέλαος δὲ* 219
*ἐπὶ θαλάσσης κατῄει μετὰ τῆς μητρὸς Νικόλαον καὶ Πτολεμαῖον καὶ πολλοὺς τῶν φίλων*
*ἐπαγόμενος, Φιλίππῳ τῷ ἀδελφῷ τὰ πάντα ἀφεὶς καθίστασθαι τοῦ οἴκου καὶ τῆς ἀρχῆς.*
*συνεξῄει δὲ αὐτῷ καὶ Σαλώμη Ἡρώδου ἀδελφὴ τὴν γενεὰν ἐπαγομένη τὴν ἑαυτῆς, πολλοὶ δὲ* 220
*τῶν συγγενῶν, λόγῳ μὲν ὡς συναγωνιούμενοι τῷ Ἀρχελάῳ ἐπὶ κτήσει τῆς βασιλείας, ἔργῳ*
*δὲ ἀντιπράξοντες καὶ μάλιστα περὶ τῶν πεπραγμένων ἐν τῷ ἱερῷ ποιησόμενοι καταβοάς.*

1 *καὶ ἅμα* tr. Berol. — 3 *ἐπὶ*] *ἐπί τε* Busb. — 4 *τοῖς ἐπὶ τοιούτοις τιμωρίαις* Busb. — 7 *βουλεύσειν*] *βασιλεύειν* Berol. — 8 *στασιάζοι* man. 1 Busb. — 9 *λέγοντες*] *βοῶντες* Iosephus. — 10 *ἐκεῖνον* om. Berol. — 15 *ἐνστάσης δὲ κατὰ* Iosephus. -- 18 *ἐκ*] *καὶ ἐκ* Iosephus. — 21 *τὴν αὐτὴν* Busb. — 34 *θαλάσση* Berol.

Zonaras I p. 467 Bonn.

221 ὑπαντιάζει δὲ ἐν Καισαρείᾳ τὸν Ἀρχέλαον Σαβῖνος Καίσαρος ἐπίτροπος τῶν ἐν Συρίᾳ
πραγμάτων εἰς Ἰουδαίαν ὡρμημένος ἐπὶ φυλακῇ τῶν Ἡρώδου χρημάτων. καὶ αὐτὸν δὲ
τῆς ἐπὶ τοῖσδε ὁρμῆς ἔσχεν ὁ Οὔαρος παρελθών· διὰ γὰρ Πτολεμαίου μετάπεμπτος ὑπ᾽
222 Ἀρχελάου παρῆν. καὶ Οὐάρῳ Σαβῖνος χαριζόμενος οὔτε τὰς ἄκρας, ὅσαι γε ἐν τοῖς Ἰου-
δαίοις ἦσαν, παρέλαβεν οὔτε τοὺς θησαυροὺς κατεσημήνατο, εἶα δὲ ἔχειν Ἀρχέλαον μέχρι
Καίσαρι δόξειέ τι περὶ αὐτῶν, καὶ ἔμενεν ἐν τῇ Καισαρείᾳ τοῦτο ὑποσχόμενος. ἐπεὶ δὲ
ἐκπλεῖ μὲν ἐπὶ Ῥώμης Ἀρχέλαος, Οὐάρῳ δὲ ἐπ᾽ Ἀντιοχείας ἐγένοντο κομιδαί, Σαβῖνος ἐπὶ
223 Ἱεροσολύμων χωρήσας παραλαμβάνει τὰ βασίλεια. μεταπέμψας δὲ τοὺς φρουράρχους καὶ
ὁπόσοι διοικηταὶ τῶν πραγμάτων ἦσαν λόγους τὲ ἀπαιτεῖν πρόδηλος ἦν καὶ τὰς ἄκρας
καθίστατο ᾗ αὐτῷ δοκοίη. οὐ μὴν οἱ φύλακες ἐν ὀλίγῳ τὰς Ἀρχελάου ἐντολὰς ἐποιοῦντο,
ἀλλ᾽ ἔμενον σώζοντες τὰ πάντα ᾗ προστέτακτο αὐτοῖς. Καίσαρι δὲ φυλάσσειν ἕκαστα
224 ἦν προσποίησις αὐτοῖς. πλεῖ δὲ κατὰ τοῦτον τὸν καιρὸν καὶ Ἀντίπας Ἡρώδου παῖς ἐπὶ
ἀντιποιήσει τῆς ἀρχῆς ὑποσχέσει Σαλώμης ἠρμένος ἐπὶ τὸ ἄρξειν καὶ πολὺ δικαιότερον
Ἀρχελάου παραλήψεσθαι τὰ πράγματα τῷ κατὰ τὰς προτέρας διαθήκας βασιλεὺς ἀποπε-
225 φάνθαι, ἃς ἀσφαλεστέρας εἶναι τῶν ἐπιγραφεισῶν. ἐπήγετο δὲ οὗτος τὴν μητέρα καὶ τὸν
ἀδελφὸν τοῦ Νικολάου Πτολεμαῖον φίλον τὲ Ἡρώδῃ γεγενημένον τιμιώτατον καὶ αὐτῷ
226 προσκείμενον. μάλιστα δὲ αὐτὸν ἐνῆγεν ἐπ᾽ ἀντιποιήσει τῆς βασιλείας φρονεῖν Εἰρηναῖος
ῥήτωρ ἀνὴρ δόξῃ δεινότητος πεπιστευμένος. διὸ δὴ καὶ τῶν κελευόντων εἴκειν Ἀρχελάῳ
πρεσβυτέρῳ τε ὄντι κἂν ταῖς ἐπιδιαθήκαις ὑπὸ τοῦ πατρὸς ἐγγεγραμμένῳ βασιλεῖ
227 οὐκ ἠνείχετο. ἐπεὶ δὲ εἰς τὴν Ῥώμην ἀφίκετο, καὶ πάντων τῶν συγγενῶν ἀπόστασις ἦν,
οὐκ εὐνοίᾳ τῇ ἐκείνου, μίσει δὲ τῷ πρὸς Ἀρχέλαον, μάλιστα μὲν ἐπιθυμούντων ἐλευθερίας
καὶ ὑπὸ Ῥωμαίῳ στρατηγῷ τετάχθαι, εἰ δὲ ἄρα τίς ἀντισταίη, λυσιτελέστερον Ἀρχελάου
τὸν Ἀντίπαν λογιζόμενοι, συνέπραττον Ἀντίπᾳ τὴν βασιλείαν. καὶ Σαβῖνος κατηγόρει
228 παρὰ Καίσαρι τοῦ Ἀρχελάου διὰ γραμμάτων. Καίσαρι δὲ Ἀρχέλαος εἰσπέμψας γράμματα,
ἐν οἷς τὰ δικαιώματα προσετίθει τὲ αὐτοῦ καὶ τὴν διαθήκην τοῦ πατρὸς καὶ τοὺς
λογισμοὺς τῶν Ἡρώδου χρημάτων σὺν τῷ σημαντῆρι κομίζοντα Πτολεμαῖον, ἐκαραδόκει τὸ
229 μέλλον. ὁ δὲ ταῦτ᾽ ἀναγνοὺς τὰ γράμματα καὶ τὰς Οὐάρου τὲ καὶ Σαβίνου ἐπιστολὰς
ὅσα τὲ χρήματα ἦν καὶ τί ἐπ᾽ ἔτος ἐφοίτα καὶ ὡς Ἀντίπας ἐπ᾽ οἰκειώσει τῆς βασιλείας
ἐπεπόμφει γράμματα, συνῆγεν ἐπὶ παρακωχῇ γνωμῶν τοὺς φίλους, σὺν οἷς καὶ Γάϊον τὸν
Ἀγρίππου μὲν καὶ Ἰουλίας τῆς αὐτοῦ θυγατρὸς υἱόν, ποιητὸν δὲ αὐτοῦ γεγονότα πρῶτον
230 καθεδούμενον παρέλαβε, καὶ κελεύει λέγειν τοῖς βουλομένοις περὶ τῶν ἐνεστηκότων. καὶ
πρῶτος Σαλώμης υἱὸς Ἀντίπατρος δεινότατος τὲ ὢν εἰπεῖν καὶ τῷ Ἀρχελάῳ ἐναντιώτατος
ἔλεγεν Ἀρχελάῳ παιδιὰν τὸν περὶ τῆς ἀρχῆς εἶναι λόγον ἔργῳ τὴν δύναμιν αὐτῆς πρότερον
ἢ Καίσαρα συγχωρῆσαι παρειληφότι, ἐπικαλῶν τὰ τετολμημένα ἐπὶ τοῖς ἀπολωλόσι κατὰ
232 τὴν ἑορτήν, καὶ ἡγεμόνων τινῶν ἐν τῷ στρατιωτικῷ μεταστάσεις καὶ προκάθισιν ἐπὶ
θρόνου βασιλείου καὶ δικῶν διαλύσεις ὡς ὑπὸ βασιλέως γενομένων κατανεύσεις τὲ αἰτήσεων
233 τοῖς δημοσίᾳ αἰτουμένοις. ἀνετίθει δὲ αὐτῷ καὶ τῶν ἐκ τοῦ ἱπποδρόμου δεσμωτῶν τὴν
ἄφεσιν καὶ πολλὰ ἕτερα, πένθους τὲ τοῦ ἐπὶ τῷ πατρὶ ἀμελείας τὲ καὶ κώμους αὐτῇ νυκτὶ

3 ὁ om. Busb. — πτολεμαῖον Busb. — 6 καισαρέων Berol. — 7 ἀντιόχει Berol. — 8 ἱεροσολύμοις Berol. — φρουράρχας Berol. — 10 καθίστα Berol. — 13 ἠρμένος om. Berol. — 14 βασιλεῖ Berol. — 18 δεινότατος Busb. — πεπιστευμένος] τῆς βασιλείας φρονεῖν Busb. — 26 κομίζοντι Berol. — 28 ἀντίπα Berol. — 31 κελεύειν Berol. — 36 δημοσίοις Berol. — 37 ἱπποδρομίου Berol. — 38 αὐτῇ νυκτῇ Busb.



Zonaras I p. 467 Bonn.

τῇ ἐπὶ τῇ ἐκείνου τελευτῇ γεγονότας, ἐφ᾽ οἷς δὴ καὶ τὴν πληθὺν ἀρχὴν τοῦ στασιάζειν 234
λαβεῖν. δεινότατόν τε πάντων ἀπέφαινε τὸ νῦν ἥκειν ἐπὶ Καίσαρα κατανεύσει τῇ ἐκείνου 236
χρησόμενον τῇ βασιλείᾳ πάντων αὐτῷ προπεποιημένων ὡς αὐτοκράτορι. μάλιστα δὲ τὴν 237
σφαγὴν τῶν περὶ τὸ ἱερὸν ἐδείνου τῷ λόγῳ καὶ τὴν δυσσέβειαν, ὡς ἑορτῆς ἐνεστηκυίας καὶ
ἱερείων ἐν τόπῳ σφαχθεῖεν. προσετίθει δὲ καὶ Ἀντίπαν ἐκ τῶν διαθηκῶν ἰσχυρότερον εἶναι· 238
κληθῆναι γὰρ ὑπὸ τοῦ πατρὸς ἐπὶ τὴν βασιλείαν οὐχὶ νεκροῦ ὄντος πρὸς τῷ σώματι καὶ τὴν
ψυχήν, ἀλλ᾽ ἀκραιφνεῖ μὲν τῷ λογισμῷ χρωμένου, ἀλκῇ δὲ σώματος τοῖς πράγμασιν ἐφεστηκότος.
Καὶ Ἀντίπατρος μὲν ταῦτα καὶ πλείω εἰπὼν ἕτερα καὶ μαρτύρων παραστάσεσι τὰ 240
εἰρημένα κρατυνάμενος πολλοῖς τῶν συγγενῶν παύεται τοῦ λέγειν. ἀνίσταται δὲ Νικόλαος
ὑπὲρ Ἀρχελάου καὶ ἔλεγε τὰ μὲν ἐν τῷ ἱερῷ γνώμῃ τῶν πεπονθότων ἀναθεὶς μᾶλλον ἢ
ἐξουσίᾳ τοῦ Ἀρχελάου. ὡς δὲ πολέμια ἔδρων λόγῳ μὲν κατὰ Ἀρχελάου, τὸ δ᾽ ἀληθὲς εἰς 241
Καίσαρα φανερὸν εἶναι· ὧν Ἀντίπατρον οὐκ αἰσχύνεσθαι ἐκδικητὴν καθιστάμενον ἐπὶ 242
θεραπείᾳ ἔχθρας τῆς αὐτοῦ πρὸς Ἀρχέλαον. ἀνετίθει δὲ καὶ τὰ λοιπὰ πᾶσι τοῖς ἐν βουλῇ 243
τῶν κατηγοριῶν· οὐδὲν γὰρ ὅ τι μὴ οὐ μετὰ γνώμης τῆς αὐτῶν γεγενημένον αἰτίᾳ τοῦ
ἀδικεῖν ὑπάγεσθαι, οὐ τῇ φύσει δὲ οὕτως αὐτὰ γεγονότα πονηρὰ εἶναι, ἀλλὰ τὸ βλάψειν
ἂν δοκεῖν Ἀρχέλαον. τοσήνδε αὐτοῖς βουλὴν ἐξυβρίσαι εἰς ἄνδρα συγγενῆ, καὶ πατρὸς
μὲν αὐτῶν εὐεργέτου, συνήθη δὲ αὐτοῖς καὶ διὰ παντὸς οἰκείως πεπολιτευμένου. τάς 244
γε μὴν διαθήκας ὑπό τε σωφρονοῦντος γεγράφθαι τοῦ βασιλέως καὶ κυριωτέρας εἶναι τῶν
γεγραμμένων πρότερον διὰ τὸ Καίσαρι ὡς δεσπότῃ τῶν ὅλων καταλελεῖφθαι τὴν κρίσιν
τῶν ἐν αὐταῖς γεγραμμένων. οὔκουν Καίσαρα ἀνδρὸς ὑπ᾽ αὐτῷ πεποιημένου τὰ πάντα 246
καὶ φίλου καὶ συμμάχου καταλύειν τὰς διαθήκας. καὶ Νικόλαος μὲν τοιάδε διελθὼν καὶ 248
πλείω γε ἐπὶ τούτοις καταπαύει τὸν λόγον· Καῖσαρ δὲ Ἀρχέλαον προσπεσόντα αὐτῷ πρὸς
τὰ γόνατα φιλοφρόνως τὲ ἀνίστη φάμενος ἀξιώτατον εἶναι τῆς βασιλείας, καὶ πολλὴν
ἀπέφηνε τροπὴν γνώμης τῆς αὐτοῦ οὐκ ἄλλα πράξειν, ἀλλ᾽ ὁπόσα αἱ διαθῆκαι ὑπηγόρευον
καὶ Ἀρχελάῳ συνέφερεν. οὐ μὴν ἐκεκύρωτο οὐδέν, ὡς ἂν ἐχεγγύῳ παραδείγματι χρώμενον 249
ἐπ᾽ ἀδείας Ἀρχέλαον εἶναι. καὶ διαλύσεως τῶν ἀνδρῶν γενομένης ἐσκοπεῖτο καθ᾽ ἑαυτόν,
εἴτε Ἀρχελάῳ τὴν βασιλείαν εἴη κυρωτέον, εἴτε κοινὴν αὐτὴν ποιεῖσθαι παντὶ τῷ Ἡρώδου
γένει καὶ ταῦτα πάντων πολλῆς ἐπικουρίας δεομένων.
Πρότερον δὲ ἢ κύρωσιν τούτων τινὰ γενέσθαι Μάρθα τὲ ἡ Ἀρχελάου μήτηρ νόσῳ 250
τελευτᾷ καὶ παρὰ Οὐάρου τοῦ τῆς Συρίας στρατηγοῦ παρῆν γράμματα τὴν Ἰουδαίων ἀπό-
στασιν διασαφοῦντα· τοῦ γὰρ Ἀρχελάου μετὰ τὸν ἔκπλουν ἐθορυβήθη τὸ πᾶν ἔθνος. 251
καὶ Οὔαρος αὐτὸς ἐπεὶ παρῆν τοὺς αἰτίους τῆς κινήσεως τιμωρίᾳ περιβαλὼν καὶ τοῦ
πλείστου τῆς στάσεως ἐπίσχεσιν ποιησάμενος πολλῆς γενομένης, ἐπ᾽ Ἀντιοχείας τὴν ἀνα-
ζυγὴν ἐποιεῖτο, τάγμα ἓν τῆς στρατιᾶς ἐν Ἱεροσολύμοις λειπόμενος τῶν Ἰουδαίων τὴν
νεωτεροποιίαν ἐπιστομιοῦντας. ἐπεραίνετο δέ γε οὐδὲν ἐπὶ παύλῃ τοῦ μὴ οὐ στασιάσαι 252
αὐτούς. ὅτε γὰρ Οὔαρος ἀπῄει καὶ Σαβῖνος ἐπίτροπος τοῦ Καίσαρος ὑπομείνας αὐτόθι
μεγάλως τοὺς στασιώτας κατεπόνει, στρατιᾷ τε τῇ καταλελειμμένῃ πιστεύων, ὡς καὶ

λ

3 προσπεποιημένων Busb. — 6 τὰ βασι Berol. — 7 ἀλλὰ Busb. — ἀλκῇ δὲ] ἀλλ᾽ ἀδὲ Berol. — 8 ἀνήπατρος sic Berol. — 11 δ᾽] δὲ Busb. — 15 οὕτως] ὅπως Busb. — τὸ] τῷ Iosephus. — 17 συνήθους Berol. — 18 γε] τε Berol. — 20 καίσαρος Berol. — 21 μὲν .... 22 Ἀρχέλαον om. Berol. — 29 i. marg. ιβ' Busb. — 33 τὴν ἀνάζευξιν Berol. — 35 ἐπαραίνετο Berol. — 36 αὐτόθιο Berol. — 37 στρατιώτας Berol.

Zonaras I p. 467 Bonn.

253 περιέσοιτο αὐτῶν, καὶ τῷ πλήθει πολλοὺς ὄντας ὁπλίσας δορυφόροις ἐχρῆτο αὐτοῖς ἐπεί-
γων τοὺς Ἰουδαίους καὶ ἐκταράσσων ἐπὶ ἀποστάσει· τάς τε γὰρ ἄκρας ἐβιάζετο παραλαμ-
βάνειν καὶ τῶν βασιλικῶν χρημάτων ἐπ' ἐρεύνῃ προθύμως ὥρμητο βίᾳ διὰ κέρδη καὶ
254 πλεονεξιῶν ἐπιθυμίας. ἐπιστάσης δὲ τῆς πεντηκοστῆς, ἑορτὴ γὰρ ἡμῶν ἐστιν πάτριος
τοῦτο κεκλημένη, οὔτι κατὰ τὴν θρησκείαν μόνον παρῆσαν, ἀλλ' ὀργῇ φέροντες τὴν
παροινίαν τῆς Σαβίνου ὕβρεως μυριάδες συνηθροίσθησαν ἀνθρώπων καὶ πάνυ πολλαὶ
255 καὶ ἐπὶ τιμωρίᾳ Σαβίνου ὡρμήκεσαν. καὶ τρία μέρη νεμηθέντες ἐπὶ τοιῶνδε στρατο-
πεδεύονται χωρίων, οἱ μὲν τὸν ἱππόδρομον ἀπολαβόντες, τῶν δὲ λοιπῶν δύο μερῶν οἱ
μὲν τῷ βορείῳ τοῦ ἱεροῦ πρὸς μεσημβρίαν τετραμμένοι, οἱ δὲ τὴν ἑῴαν μοῖραν εἶχον,
μοῖρα δὲ αὐτῶν ἡ τρίτη τὰ πρὸς δυόμενον ἥλιον, ἔνθα καὶ τὸ βασίλειον ἦν. ἐπράσσετο
δὲ τὰ πάντα αὐτοῖς ἐπὶ πολιορκίᾳ τῶν Ῥωμαίων ἀπανταχόθεν αὐτοῖς ἀποκεκλεισμένων.
256 καὶ Σαβῖνος, ἔδεισε γὰρ τότε τὸ πλῆθος καὶ τὰ φρονήματα ἀνδρῶν ἐν ὀλίγῳ τὸ θανεῖν
ποιουμένων ὑπὲρ τοῦ μὴ ἡττῆσθαι, παραχρῆμα τὲ ὡς τὸν Οὔαρον ἔπεμψε γράμματα καὶ οὐκ
ἀνίει κελεύων ἐκ τοῦ ὀξέος βοηθεῖν, ὡς κινδύνου μεγίστου τὸ ἐγκαταλειφθὲν στράτευμα
257 περιεσχηκότος. αὐτὸς δὲ τοῦ φρουρίου τὸν ὑψηλότατον τῶν πύργων καταλαβόμενος
258 Φασάηλον εἰρημένον κατέσειε τοῖς Ῥωμαίοις ἐπεξιέναι τοῖς Ἰουδαίοις. τολμησάντων δὲ εἰς
τὴν ἔξοδον τῶν Ῥωμαίων μάχη συνῄει καρτερά, καὶ οἱ Ῥωμαῖοι τῶν πολεμίων ἔργῳ
ἐκράτουν, οὐ μὴν τὰ φρονήματά γε τοῖς Ἰουδαίοις ἔκαμνε τῇ ὄψει τοῦ δεινοῦ πολλῶν
259 αὐτοῖς πεπτωκότων, περιοδεύσαντες δὲ ἀνίασιν ἐπὶ τὰς στοάς, αἵπερ ἦσαν τοῦ ἱεροῦ τὸν
ἔξω περίβολον περιέχουσαι, καὶ πολλῆς μάχης γενομένης λίθους τὲ ἠφίεσαν τοὺς μὲν ἐκ
260 χειρῶν, οὓς δὲ καὶ ἐκ σφενδονῶν. καὶ οἱ τοξόται πάντες παρατεταγμένοι μεγάλα ἔβλαπτον
τοὺς Ῥωμαίους διὰ τὸ ὑπερδέξιοί τε εἶναι καὶ ἐπιχειρεῖσθαι μὲν ἄποροι διὰ τὸ ἀνέφικτοι τοῖς
ἀκοντίζειν πειρωμένοις εἶναι, ῥᾴους δὲ κρατεῖσθαι. καὶ πολὺν μὲν χρόνον ἡ μάχη τοιάδε
261 ἦν ἔπειτα οἱ Ῥωμαῖοι πῦρ ἐνίασι ταῖς στοαῖς λαθόντες Ἰουδαίων τοὺς ἀναβεβηκότας ἐπ'
αὐτάς. καὶ τὸ πῦρ ὑπό τε πολλῶν προστεθειμένων καὶ μετὰ τῶν ἐγείρειν φλόγα δυνα-
262 μένων ἥπτετο τοῦ ὀρόφου ἦ τάχος. ἡ δὲ ξύλωσις παρέχουσα πίσσῃ τὲ καὶ κηρῷ ἔτι τε
κηρῷ χρυσὸν ἐπαληλειμμένον εὐθέως εἶκεν, ἔργα τὲ μεγάλα ἐκεῖνα καὶ ἀξιολογώτατα
ἠφανίζετο. καὶ τοὺς ὑπὲρ τῶν στοῶν ὄλεθρος οὗτος ἀπροσδόκητος κατελάμβανεν· οἱ μὲν
γὰρ τοῦ ὀρόφου καταρραγέντος συγκατεφέροντο αὐτῷ, τοὺς δὲ περισταδὸν ἔβαλλον οἱ
263 πολέμιοι· πολλοὶ δὲ ἀπορίᾳ σωτηρίας οἱ μὲν εἰς τὸ πῦρ ἐνίεσαν ἑαυτούς, οἱ δὲ καὶ τοῖς
ξίφεσι χρώμενοι διάδρασιν αὐτοῦ ἐποιοῦντο, ὁπόσοι δὲ εἰς τὸ κατόπιν χωρήσαντες ὁδῷ ᾗ
ἀναβεβήκεσαν ἐσώζοντο, οἱ Ῥωμαῖοι πάντας ἔκτεινον γυμνοὺς τὲ ὄντας καὶ τὰ φρονήματα
264 ἐκλελυμένους, οὐδὲν τῆς ἀπονοίας διὰ τὸ ἄνοπλον βοηθεῖν δυναμένης. ἐσώθη τὲ τῶν
ἀνελθόντων ἐπὶ τὸ τέγος οὐδοστισοῦν. καὶ οἱ Ῥωμαῖοι διὰ τοῦ πυρὸς ᾗ παρήκοι σωθέντες
ἐκράτουν τοῦ θησαυροῦ, καθ' ὃν ἱερὰ ἦν χρήματα. καὶ διεκλάπη μὲν πολλὰ ὑπὸ τῶν
265 στρατιωτῶν, Σαβῖνος δὲ περιεποίησεν εἰς τὸ φανερὸν τετρακόσια τάλαντα. Ἰουδαίους δὲ
ἐλύπει μὲν τὸ πάθος τῶν φίλων, οἳ ἐν τῇδε ἔπεσον τῇ μάχῃ, ἐλύπει δὲ καὶ τῶν ἀναθη-
μάτων ἡ ἀφαίρεσις, οὐ μὴν ἀλλ' ὅπερ αὐτῶν ἐτύγχανε συνεστραμμένον καὶ μαχητικώτατον

10 ἔνθεν Busb. — 13 ὑπὲρ τοῦ μὴ ἡττῆσθαι] ὑπὸ τοῦ ἡττᾶσθαι Busb. — 17 κρατερὰ Berol. — ἔργων Berol. — 19 αἵπαρ ἦσαν Berol. — 22 καὶ] δ Berol. — ἄπυροι Berol. — ἀνέφρατον τοῖς Berol. — 25 προτιθειμένων Berol. — 26 πίσσην Berol. — 37 τὸ om. Berol. — 38 ὅπερ ex ἅπερ corr. Busb.



Zonaras I p. 468 Bonn.

τοῦτο ἐμπεριέχοντες τὸ βασίλειον ἠπείλουν τὲ πῦρ ἐνήσειν αὐτῷ καὶ πάντας κτεῖναι,
κελεύοντες ᾗ τάχος ἀπιέναι καὶ πειθομένοις ὑπισχνούμενοι ἄδειαν καὶ Σαβίνῳ σὺν αὐτοῖς.
καὶ τῶν βασιλικῶν τὸ πλεῖστον ηὐτομόλησαν πρὸς αὐτούς. Ῥοῦφος δὲ καὶ Γράτος τρισ- 266
χιλίους τὸ μαχητικώτατον τοῦ Ἡρώδου στρατεύματος ἔχοντες ἄνδρας τοῖς σώμασι δραστη-
ρίους Ῥωμαίοις προστίθενται, καί τι καὶ ἱππικὸν ἦν τῶν ὑπὸ τῷ Ῥούφῳ τεταγμένων, ὃ
καὶ αὐτὸ προσθήκη τῶν Ῥωμαίων ἐγεγόνει. Ἰουδαίοις δὲ οὐκ ἠμέλητο ἡ πολιορκία, ἀλλὰ 267
καὶ τὰ τείχη μετῄεσαν καὶ τοῖς μεταβαλλομένοις ἐκέλευον μὴ ἐμποδισταῖς εἶναι τοῦ
ἀπολήψεσθαι χρόνῳ παροῦσαν αὐτοῖς τὴν ἐλευθερίαν τὴν πατρικήν. Σαβίνῳ μὲν οὖν 268
εὐκτὸν ἦν ἀπιέναι μετὰ τῶν στρατιωτῶν, πιστεύειν δ' οὐχ οἷός τε ἦν διὰ τὰ πεπραγμένα
καὶ τὸ λίαν τὲ ἄγνωμον τῶν πολεμίων. ἅμα δὲ καὶ τὸν Οὔαρον ἥξειν προσδοκῶν ὑπέμενε
τὴν πολιορκίαν.

Ἐν τούτῳ δὲ καὶ ἕτερα μυρία θορύβων ἐχόμενα τὴν Ἰουδαίαν κατελάμβανε πολλῶν 269
πολλαχόσε οἳ κατ' οἰκείων ἐλπίδας κερδῶν καὶ Ἰουδαίων ἔχθρας ἐπὶ πολεμεῖν ὡρμημένων·
δισχίλιοι μὲν τῶν ὑφ' Ἡρώδῃ ποτὲ στρατευσαμένων καὶ ἤδη καταλελυκότες ἐν αὐτῇ ἰδίᾳ 270
συστάντες προσεπολέμουν τοῖς βασιλικοῖς. Ἰούδας τὲ Ἐζεκίου τοῦ ἀρχιλῃστοῦ υἱὸς ἐπὶ 271
μέγα δυνηθέντος ὑφ' Ἡρώδου δὲ μεγάλοις ληφθέντος πόνοις. οὗτος οὖν ὁ Ἰούδας περὶ
Σέπφωριν τῆς Γαλιλαίας συστησάμενος πλῆθος ἀνδρῶν ἀπονενοημένων ἐπιδρομὴν τῷ
βασιλείῳ ποιεῖται καὶ ὅπλων κρατήσας ὁπόσα αὐτόθι ἀπέκειτο ὥπλιζε τοὺς περὶ αὐτὸν
καθ' ἕνα καὶ ἀποφέρεται χρήματα ὁπόσα κατελείφθη αὐτόθι, φοβερὸς τὲ ἅπασιν ἦν ἄγων καὶ 272
φέρων τοὺς προστυγχάνοντας ἐπιθυμίᾳ μειζόνων πραγμάτων καὶ ζηλώσει βασιλείου τιμῆς.
ἦν δὲ καὶ Σίμων, δοῦλος μὲν Ἡρώδου τοῦ βασιλέως, ἄλλως δὲ ἀνὴρ εὐπρεπὴς καὶ μεγέθει 273
καὶ ῥώμῃ σώματος ἐπὶ μέγα προὔχων τὲ καὶ πεπιστευμένος. οὗτος ἀρθεὶς τῇ ἀκρασίᾳ
τῶν πραγμάτων διάδημα ἐτόλμησε περιθέσθαι, καί τινος πλήθους συστάντος καὶ αὐτὸς 274
βασιλεὺς ἀναγγελθεὶς μανίᾳ τῇ ἐκείνων καὶ εἶναι ἄξιος ἐλπίσας τὸ ἐν Ἱεριχοῦντι βασί-
λειον πίμπρησι δι' ἁρπαγῆς ἄγων τὰ ἐγκαταλελειμμένα, πολλὰς τὲ καὶ ἄλλας τῶν βασι-
λικῶν οἰκήσεων πολλαχοῦ τῆς χώρας πῦρ ἐνιεὶς ἠφάνιζεν. ἐπέπρακτο δ' ἄν τι μεῖζον ἀπ' 275
αὐτοῦ μὴ ταχείας ἐπιστροφῆς γενομένης· ὁ γὰρ Γράτος Ῥωμαίοις προστεθειμένος μεθ' ἧς
εἶχε δυνάμεως ὑπαντιάζει τῷ Σίμωνι, καὶ μάχης αὐτοῖς μεγάλης ἐπὶ πολὺ γενομένης τό 276
τε πολὺ τῶν Περαίων ἀσύντακτοι ὄντες καὶ τόλμῃ μᾶλλον ἢ ἐπιστήμῃ μαχόμενοι διεφθά-
ρησαν, καὶ αὐτοῦ Σίμωνος φυγῇ διά τινος φάραγγος σῴζοντος αὐτὸν Γράτος ἐντυχὼν τὴν
κεφαλὴν ἀποτέμνει. κατεπρήσθη δὲ καὶ τὰ ἐν Ἰορδάνῃ ποταμῷ ἐν Ἀμαθοῖς βασίλεια 277
ὑπό τινων συστάντων ἀνδρῶν Σίμωνι παραπλησίων. οὕτως πολλὴ ἀφροσύνη ἐνεπολίτευσε
τῷ ἔθνει διὰ τὸ βασιλέα μὲν οἰκεῖον οὐκ εἶναι τὸν καθέξοντα τὸ πλῆθος ἀρετῇ, τοὺς δὲ
ἀλλοφύλους ἐπελθόντας σωφρονιστὰς τοῦ στασιάσαντος τῶν ἀνθρώπων ὑπέκκαυμα αὐτῶν
διά τε τοῦ ὑβρίζειν καὶ πλεονεκτεῖν γενέσθαι ἐπεὶ καὶ Ἀθρόγγης ἀνὴρ οὔτε προγόνων 278
ἐπιφανὴς ἀξιώματι οὔτε ἀρετῆς περιουσίᾳ ἢ πλήθει χρημάτων, ποιμὴν δὲ καὶ ἀνεπιφανὴς
τοῖς πᾶσιν εἰς τὰ πάντα ὤν, ἄλλως δὲ μεγέθει σώματος καὶ τῇ κατὰ χεῖρας ἀλκῇ δια-
πρέπων, ἐτόλμησεν ἐπὶ βασιλείᾳ φρονῆσαι τῷ κτωμένῳ δὲ αὐτὴν ἡδονῆς πλέον ὑβρίσαι

4 ἔχοντα Berol. — 5 τῷ] τῶν Berol. — 8 χρόνου παροῦσιν Berol. — 13 ἐπὶ τὸ πολεμεῖν Iosephus. — 14 δισχίλιοι, litt. δισχί in ras. circiter 7 litt. Busb. — 16 ὁ om. Berol. — 19 κατελήφθην Berol. — 21 ἄλλος Berol. — 23 διάδομα Busb. — 29 πολὺ] πολλοὶ Busb. — 34 ὑπεκκαυμένα Berol. — 35 τοῦ] τοὺς Berol. — 37 ἀλκῇ] ἀλαῖ Berol. — 38 πλέων Berol.

Zonaras I p. 469 Bonn.

καὶ θνήσκων οὐκ ἐν μεγάλοις τίθεσθαι τῆς ψυχῆς τὸ ἐπὶ τοιοῖσδε ἀναλώμασι γενησό-
279 μενον. ἦσαν δὲ αὐτῷ καὶ ἀδελφοὶ τέσσαρες μεγάλοι τὲ καὶ αὐτοὶ καὶ ἐπὶ μεγάλα προὔχειν
τῇ κατὰ χεῖρας ἀρετῇ πεπιστευμένοι, λόχου τὲ αὐτῶν ἦρχεν ἕκαστος· συλλέγεται γὰρ μεγάλη
280 πληθὺς πρὸς αὐτούς. καὶ οἵδε μὲν στρατηγοὶ ἦσαν καὶ ὑπεστρατήγουν αὐτῷ ὁπόσα εἰς
τὰς μάχας φοιτῶντες δι' αὐτῶν, ὁ δὲ διάδημα περιθέμενος βουλευτήριόν τε ἦγεν ἐπὶ τοῖς
281 προσποιητέοις καὶ τὰ πάντα γνώμῃ ἀνακείμενα εἶχε τῇ αὐτοῦ. διέμενέ τε ἐπιπολὺ τῷδε
τῷ ἀνδρὶ ἡ ἰσχὺς βασιλεῖ τὲ κεκλημένῳ καὶ πράσσοντι ἅπερ ἐθέλοι, φόνῳ τὲ καὶ αὐτὸς
καὶ οἱ ἀδελφοὶ ἦσαν προσκείμενοι Ῥωμαίων τὲ καὶ τῶν βασιλικῶν μίσει πολιτεύοντες ὁμοίως
282 πρὸς ἀμφοτέρους, διάφευξίς τε οὐκ ἦν τοῖς πᾶσιν ἐν πᾶσι, τὰ μὲν κέρδους ἐλπίδι, τὰ δὲ
συνηθείᾳ τοῦ φονεύειν. ἐπιτίθενται δὲ τότε καὶ Ῥωμαίων λόχῳ κατὰ Ἐμμαοῦντα, οἳ
σῖτα καὶ ὅπλα τῆς στρατιᾶς ἔφερον. καὶ περιστάντες Ἄρειον μὲν τὸν ἑκατόνταρχον, ὃς
ἡγεῖτο τοῦ τάγματος, καὶ τεσσαράκοντα τῶν περὶ αὐτὸν πεζῶν τοὺς κρατίστους κατηκόν-
283 τισαν. οἱ δὲ λοιποὶ δείσαντες πρὸς τὸ πάθος αὐτῶν Γράτου σὺν τοῖς βασιλικοῖς, οἳ περὶ
αὐτὸν ἦσαν, σκέπης αὐτοῖς γενομένου σώζονται τοὺς νεκροὺς καταλιπόντες. καὶ πολὺν
μὲν χρόνον τοιούτοις τρόποις χρώμενοι μάχαις Ῥωμαίους τὲ παρελύπησαν οὐκ ὀλίγα καὶ
284 τὸ ἔθνος ἐκάκωσαν ἐπὶ μέγα. χειροῦνται δ' οὖν χρόνῳ ὕστερον ὁ μὲν Γράτῳ συμβαλὼν
ὁ δὲ Πτολεμαίῳ, καὶ τὸν πρεσβύτατον Ἀρχελάου λαβόντος ὁ τελευταῖος πάθει τὲ τῷ
ἐκείνου λελυμένος καὶ ἄπορον ἐπὶ πλέον ὁρῶν τὴν σωτηρίαν ψιλωθεὶς τῆς δυνάμεως
285 Ἀρχελάῳ παραδίδωσιν ἑαυτόν. καὶ τάδε μὲν ὕστερον γίνεται. λῃστηρίων δὲ ἡ Ἰουδαία ἔμπλεως
ἦν ὀλίγα μὲν Ῥωμαίοις λυμαινομένων τοῦ δὲ ὁμοφύλου φόνου ἐπιμήκιστον ἐμποιούντων.
286 Οὔαρος δὲ ἐπειδὴ πρῶτον πυνθάνεται τὰ πεπραγμένα Σαβίνου γράψαντος, δείσας
περὶ τοῦ τάγματος δύο τὰ λοιπὰ ἀναλαβών, τρία γὰρ ἐπὶ Συρίας τὰ πάντα ἦν, καὶ ἴλας
ἱππέων τέσσαρας ὁπόσα τὲ ἐπικουρικὰ ἢ βασιλεῖς παρεῖχον ἤ τινὲς τετράρχαι τότε,
287 ἠπείγετο βοηθεῖν τοῖς ἐν Ἰουδαίᾳ πολιορκουμένοις. εἴρητο δὲ πᾶσιν εἰς Πτολεμαΐδα
ἐπείγεσθαι ὁπόσοι προεξεπέμποντο. διδόασί τε αὐτῷ καὶ Βηρύτιοι διϊόντι αὐτῶν τὴν πόλιν
ἐπικούρους πεντακοσίους καὶ χιλίους, πέμπει δὲ καὶ Ἀρέτας ὁ Πετραῖος ἔχθει τὲ τῷ Ἡρώδου
288 καὶ φιλίαν τὴν Ῥωμαίων κτώμενος συμμαχίαν οὐκ ὀλίγην πεζῶν καὶ ἱππέων. συναχθείσης
δ' ἐν Πτολεμαΐδι πάσης ἤδη τῆς δυνάμεως μέρος τι ταύτης τῷ υἱῷ παραδοὺς καὶ ἑνὶ τῶν
αὐτοῦ φίλων Γαλιλαίους ἐξέπεμπε πολεμεῖν, οἳ τῆς Πτολεμαΐδος ἐχόμενα κατοικοῦσιν.
289 οἷς ἐμβαλὼν τούς τε ἀντιστάντας εἰς μάχην τρέπεται καὶ Σέπφωριν ἑλὼν τοὺς μὲν οἰκή-
τορας ἠνδραποδίσατο, τὴν δὲ πόλιν ἐνέπρησεν. αὐτὸς δὲ Οὔαρος ἐπὶ Σαμαρείας τῷ
παντὶ στρατῷ προσιὼν τῆς μὲν πόλεως ἀπέσχε διὰ τὸ ἀνέγκλητον ἐπὶ τοῖς νεωτερισμοῖς
290 εἶναι, στρατοπεδεύεται δὲ ἔν τινι κώμῃ Πτολεμαίου κτήματι, Ἀροῦς ὄνομα αὐτῇ. καὶ οἱ
Ἄραβες μίσει τῷ Ἡρώδου ἐμπιπρᾶσιν αὐτὴν ἐχθρῶς καὶ πρὸς φίλους τοὺς ἐκείνου ἔχοντες.
ἐκεῖθεν τὲ προϊόντες Σαπφὼ κώμην ἑτέραν διήρπασάν τε οἱ Ἄραβες καὶ ἔκαυσαν. πάνυ
291 ἐρυμνὴν οὖσαν καὶ ἐχυράν. ἐν δὲ τῇ προόδῳ οὐδὲν αὐτοὺς διέφυγεν, ἀλλὰ πυρὸς καὶ φόνου
τὰ πάντα μεστὰ ἦν. πίμπραται δὲ καὶ Ἐμμαοῦς Οὐάρου κελεύσαντος προεκλειφθεῖσα ὑπὸ

8 προκείμενοι Berol. — 9 διάζευξις, ά in ras. Busb. — 10 ἐπιτίθεντα Berol. — λόχω, χω suppletum man. 2 in spatio vacuo relicto Busb. λόγχω Berol. — 12 ἡγεῖται Berol. — 16 δ' οὖν] δ'εἶν Berol. — 19 γίνεται] γίνον Berol. — 25 προεξεπέμπετο Berol. — 26 ὁ Πετραῖος om. Busb. — 27 τὴν] τοῖς Busb. — 30 ἀντιστάντας, litt. ντ in ras. 1 litt. Busb. — 34 ἡρώδους Berol. — 37 τὰ πάντα om. Busb.



Zonaras I p. 469 Bonn.

τῶν οἰκητόρων. ἐντεῦθεν καὶ Ἱεροσολύμοις ἤδη συνῆπτε, καὶ Ἰουδαίων οἱ κατὰ πολιορκίαν 292
τῇδε στρατοπεδευόμενοι τὴν τῶν στρατευμάτων οὐχ ὑπομείναντες πρόσοδον ᾤχοντο ἡμίεργον
τὴν πολιορκίαν καταλιπόντες. οἱ δὲ ἐν τοῖς Ἱεροσολύμοις Ἰουδαῖοι δεινῶς τοῦ Οὐάρου σφίσιν 293
ἐγκαλοῦντος ἀπελύοντο τὰς αἰτίας, ὡς τῆς μὲν συνόδου τῆς πληθύος διὰ τὴν ἑορτὴν γενομένης,
τοῦ δὲ πολέμου μηδαμῇ γνώμῃ τῇ αὐτῶν, τόλμῃ δὲ τῶν ἐπηλύδων συνελθόντες αὐτοῖς καὶ συμ-
πολιορκηθέντες Ῥωμαίοις μάλιστα ἢ πολιορκεῖν προθυμίαν ἔχοντες. Σαβῖνος δὲ οὐκ ἀφῖκτο 294
Οὐάρῳ εἰς ὄψιν, ἀλλ' ὑπεξῆλθε τῆς πόλεως ἐπὶ θάλασσαν. Οὔαρος δὲ κατὰ τὴν χώραν πέμψας 295
τοῦ στρατοῦ μέρος ἐπιζητεῖ τοὺς αἰτίους τῆς ἀποστάσεως. καὶ σημαινομένων οὓς μὲν ἐκόλασεν
ὡς αἰτιωτάτους, οὓς δὲ ἀφῆκεν· ἐγένοντο δὲ οἱ διὰ ταύτην τὴν αἰτίαν σταυρωθέντες
δισχίλιοι. μετὰ δὲ ταῦτα μυρίους Ἰουδαίους συνεστηκέναι πυνθανόμενος ἠπείγετο εἰς 296
κατάληψιν αὐτῶν. οἱ δὲ παρέδοσαν αὐτοὺς γνώμῃ τῇ Ἀχιάβου συνελθόντες. καὶ Οὔαρος 297
τῷ πλήθει συγχωρῶν τῆς αἰτίας τῆς ἀποστάσεως ἔπεμπεν ἐπὶ Καίσαρα ὁπόσοι ἡγεμόνες
ἦσαν αὐτῶν. Καῖσαρ δὲ τοὺς μὲν πολλοὺς αὐτῶν διῆκεν, ὁπόσοι δὲ συγγενεῖς ὄντες 298
Ἡρώδου συνεστράτευον αὐτοῖς, τοὺς δὲ ἐκόλασε μόνους, εἰ μηδὲν φροντίσαντες τοῦ δικαίου
κατὰ τῶν οἰκείων ἐστράτευον. Οὔαρος μὲν δὴ ταῦτα καταστησάμενος καὶ φρουρὰν Ἱερο- 299
σολύμων τὸ καὶ πρότερον καταλιπὼν τάγμα ἐπ' Ἀντιοχείας ἠπείγετο. Ἀρχελάῳ δὲ ἐπὶ
Ῥώμης ἑτέρων πραγμάτων ἐφύοντο ἀρχαὶ κατὰ τοιαύτας αἰτίας. ἀφίκετο εἰς τὴν Ῥώμην 300
πρεσβεία Ἰουδαίων ὑπὲρ αἰτήσεως αὐτονομίας. καὶ ἦσαν οἱ μὲν πρέσβεις πεντήκοντα,
συνίστανται δὲ αὐτοῖς τῶν ἐπὶ Ῥώμης Ἰουδαίων ὑπὲρ ὀκτακισχιλίους. Καίσαρός τε συνέ- 301
δριον φίλων τῶν αὐτοῦ καὶ Ῥωμαίων τῶν πρώτων συναγαγόντος οἱ μὲν πρέσβεις μετὰ τοῦ
πλήθους τῶν αὐτόθι Ἰουδαίων ἀφικνοῦνται, Ἀρχέλαος δὲ μετὰ τῶν φίλων. παρῆν δὲ ἤδη 303
καὶ Φίλιππος ἀπὸ Συρίας ἐξοτρύναντος αὐτὸν Οὐάρου, τὸ μὲν κεφάλαιον ἐπὶ συνηγορίᾳ
τοῦ ἀδελφοῦ, πάνυ γὰρ εὐνόει Οὔαρος αὐτῷ, γενομένης δὲ τῇ βασιλείᾳ μεταπτώσεως, καὶ
τάδε γὰρ ὑπώπτευεν Οὔαρος νέμησιν αὐτῆς γενήσεσθαι διὰ τὸ πολλοὺς εἶναι τοὺς αὐτο-
νομίας γλιχομένους, οὐχ ὑστεριῶν τοῦ καὶ αὐτὸς μοῖραν τινὰ φέρεσθαι. λόγου οὖν τοῖς 304
Ἰουδαίων πρέσβεσι δοθέντος, οἳ ἐπὶ καταλύσει τῆς βασιλείας ἤλπιζον λέγειν, ἐπὶ κατη-
γορίαν τῶν Ἡρώδου παρανομιῶν τρέπονται, βασιλέα μὲν ὀνόματι ἀποφαίνοντες αὐτόν,
τυραννίδι δὲ χρῆσθαι τὰ πολλὰ ἐπ' ὀλέθρῳ Ἰουδαίων. ἣ τοσήνδε Ἡρώδην ἐπεισάγεσθαι 309
τὴν ὕβριν αὐτοῖς, ὁπόσην οὐκ ἂν θηρίον ἀνθρώπων ἐπιστατεῖν δυνάμεως αὐτῷ παρα-
γενομένης. πολλῶν γοῦν ἀναστάσεων παραλαβουσῶν τὸ ἔθνος οὐδεμίαν ἱστορεῖσθαι 310
τοιάνδε δυστυχίαν ὑπελθοῦσαν αὐτὸ οἵαν αὐτὸς Ἡρώδης ἐπετίθει τῷ ἔθνει. καὶ ταύτῃ 311
εἰκότως ἂν γενέσθαι τὸ ἀσμένως Ἀρχέλαον βασιλέα προσειπεῖν οἰομένους πάντα τὸν ἐπὶ
βασιλείᾳ ἐσόμενον Ἡρώδου μετριώτερον φανεῖσθαι. τὸν δὲ δείσαντα μὴ οὐχ Ἡρώδου 312
γνήσιος πιστεύοιτο υἱός, ἐκ τοῦ ὀξέος ἐπάξειν τῷ ἔθνει τὴν ἀπόνοιαν αὐτοῦ καὶ ταῦτα
μηδέπω τέλεον κρατυνάμενον τὴν ἡγεμονίαν διὰ τὸ ἐπὶ Καίσαρι δοῦναι καὶ μὴ τὴν ἐξου-

2 ἡμίεργοι Busb. — 3 τοῦ] τ οῦ Busb. — 5 ἐπολύδων Busb. — 6 μάλιστα] μᾶλλον Iosephus — 11 παρέδωσαν Berol. — 12 τὰς αἰτίας Iosephus. — 14 συνεστρατεύοντο Berol. — 17 ῥώμη Busb. — 18 αὐτονομίας] αὐτῶν ὁμοίας Busb. — 19 συνίσταται Berol. — 19 ὀκτακισχι λ Berol. ὀκτακισχίλιοι Iosephi codd. optimi. — 19 συνεδρία Berol. — 32 ἀρχελάου Busb. ἀρχε λ' Berol. — — 34 ὀξέως ο Berol.

Zonaras I p. 472 Bonn.

342 Ἐλεάζαρος ἐν τῇ ἱερωσύνῃ ἐπικατασταθέντος αὐτῷ Ἰησοῦ τοῦ Σεὲ παιδός. δεκάτῳ δὲ
ἔτει τῆς ἀρχῆς Ἀρχελάου οἱ πρῶτοι ἔν τε Ἰουδαίοις καὶ Σαμαρείταις μὴ φέροντες τὴν
343 ὠμότητα αὐτοῦ καὶ τυραννίδα κατηγοροῦσιν αὐτοῦ ἐπὶ Καίσαρος. ὁ τοίνυν Καῖσαρ ὡς
ἤκουσεν ὀργῇ φέρων τὸν ἐπίτροπον Ἀρχελάου τῶν ἐν Ῥώμῃ πραγμάτων, Ἀρχέλαος δὲ καὶ
τούτῳ ὄνομα ἦν, μετακαλέσας, γράφειν μὲν Ἀρχελάῳ ταπεινὸν ἡγεῖται, „σὺ δὲ παραχρῆμα,
344 φησί, πλεῦσον ἐπανάγων αὐτὸν πρὸς ἡμᾶς.“ καὶ ὃς ἔκπλουν ἐκ τοῦ ὀξέος ποιησάμενος
καταλαμβάνει τὸν Ἀρχέλαον ἐν εὐωχίαις ὄντα μετὰ τῶν φίλων τήν τε διάνοιαν ἀπο-
σημαίνει τοῦ Καίσαρος καὶ ὥρμησεν αὐτὸν εἰς τὴν ἔξοδον. καὶ ὁ Καῖσαρ ἀφικομένου
ἐπὶ τινῶν κατηγόρων ἀκροᾶται καὶ αὐτοῦ λέγοντος, ἐκεῖνον μὲν φυγάδα ἐλαύνει δοὺς
345 οἰκητήριον αὐτῷ Βίενναν πόλιν τῆς Γαλατίας, τὰ δὲ χρήματα ἀπηνέγκατο. πρότερον δὲ
ἢ ἀνελθεῖν εἰς Ῥώμην Ἀρχέλαος ὄναρ τοιόνδε τεθέαται· ἀστάχυας δέκα τὸν ἀριθμὸν
πλέους πυροῦ τὴν ἰδίαν ἀκμὴν ἀπειληφότας δόξα ἦν αὐτῷ βιβρωσκομένους ὑπὸ βοῶν
θεωρεῖν. καὶ περιεγειρόμενος, φέρειν δὲ ἦν εἰς μέγα δόξης τὴν ὄψιν αὐτῷ, μεταστέλλεται
346 τοὺς μάντεις οἷς καὶ περὶ ὀνείρατα ἦσαν ἀναστροφαί. σχιδναμένων δὲ ἑτέρων ἐφ᾽ ἑτέροις,
Σίμων γένος Ἐσσαῖος μεταβολὴν πραγμάτων ἔλεγεν Ἀρχελάῳ φέρειν τὴν ὄψιν οὐκ ἐπ᾽
347 ἀγαθοῖς πράγμασι· βόας μὲν γὰρ κακοπαθείας ἀποσαφεῖν διὰ τὸ ἔργοις ἐπιταλαιπωρεῖν
τὸ ζῷον, μεταβολὰς δὲ αὖ πραγμάτων διὰ τὸ τὴν γῆν πόνῳ τῷ ἐκείνων ἀρουμένην ἐν
ταὐτῷ μένειν οὐ δύνασθαι· τοὺς δὲ ἀστάχυας δέκα ὄντας τοσῶνδε ἀριθμὸν ἐνιαυτῶν
ὁρίζειν, περιόδῳ γὰρ ἑνὸς παραγίνεσθαι θέρος, καὶ τὸν χρόνον ἐξήκειν Ἀρχελάῳ τῆς ἡγε-
348 μονίας. καὶ ὁ μὲν ταῦτ᾽ ἐξηγήσατο τὸν ὄνειρον. πέμπτῃ δὲ ἡμέρᾳ μετὰ τὴν ὄψιν αὐτοῦ
349 ὁ ἀνακαλούμενος Ἀρχέλαος πεμπτὸς εἰς Ἰουδαίαν ὑπὸ Καίσαρος ἀφίκετο. παραπλήσια δὲ
καὶ Γλαφύρᾳ τῇ γυναικὶ αὐτοῦ τυγχάνει βασιλέως Ἀρχελάου θυγατρὶ οὔσῃ, ἣ πρότερον συνῴκει
Ἀλεξάνδρῳ Ἀρχελάου ἀδελφῷ, ἐπεὶ δὲ συνέβη τὸν Ἀλέξανδρον ὑπὸ πατρὸς τελευτῆσαι, Ἰόβᾳ
350 τῷ Λιβύων βασιλεῖ γαμεῖται, μεταστάντος δὲ τοῦ Λίβυος χηρεύουσαν ἐν Καππαδοκίᾳ παρὰ
τῷ πατρὶ Ἀρχέλαος ἄγεται τὴν συνοικοῦσαν αὐτῷ Μαριάμην ἐκβαλών· τοσόσδε αὐτὸν τῆς
351 Γλαφύρας ἐπέσχεν ἔρως. καὶ συνοῦσα τῷ Ἀρχελάῳ τοιόνδε ὄναρ θεᾶται· ἐδόκει τὸν
Ἀλέξανδρον ἐπιστάντα θεασαμένη χαίρειν καὶ περιβάλλειν προθύμως, τὸν δὲ κατάμεμψίν
352 τε αὐτῆς ποιεῖσθαι καὶ φάναι· „Γλαφύρα, συνηγορεῖς ἄρα λόγῳ, ὃς ἄπιστα ἔλεγεν εἶναι
γυναιξίν, ἣ συνομολογήσασά μοι καὶ συγκατοικισθεῖσα παρθένος παίδων ἡμῖν γεγονότων
λήθῃ παραδίδως ἔρωτας τοὺς ἐμοὺς δευτέρων ἐπιθυμίᾳ γάμων. πληθώρα δέ σοι οὐδὲ
οὕτως ὕβρεως, ἀλλὰ καὶ τρίτον ἐτόλμησας σαυτῇ παρακατακλῖναι νυμφίον ἀπρεπῶς καὶ
ἀναισχύντως ἐπεισιοῦσα οἴκῳ τῷ ἐμῷ, καὶ γάμον συντιθεμένη πρὸς Ἀρχέλαον ἀδελφὸν
353 ἡμέτερον. ἀλλ᾽ οὐκ ἔγωγέ σου λήθην ποιήσομαι, ἀπαλλάξω δέ σε παντὸς τοῦ ὀνειδιοῦντος
ἐμὴν ὥσπερ ἧς κατασκευασάμενος.“ ταῦτα διηγησαμένη πρὸς τὰς συνήθεις τῶν γυναικῶν

---

6 ὀξέως (ο suprascr.) Berol. — 7 τε] δὲ Busb. — ἀναποσημαίνει Berol. — 9 λέγοντα Berol. — καὶ ἐκεῖνον Iosephus. — 10 οἰκητόροις sic Berol. — 11 ἀσταχύας Berol. et man. 1 Busb. — 12 αἰτῷ] αὐτοῦ Busb. — 14 ὀνείρατος Berol. — 15 τὴν ὄψιν] Busb. Zon. τότε Berol. — 17 ἐν ταὐτῷ] ἀντ᾽ αὐτῷ (λ — λ suprascr.) Berol. — 18 ἐξήκειν . . . . ταῦτ᾽ om. Busb. — 19 ταῦτ᾽] ταύτῃ Iosephus. — 22 βασι ἀρχε θυγάτηρ οὔσῃ Berol. — 24 λυβίων Berol. — λύβυος Berol. — 26 ὄναρ] ὄγαρ Berol. — τὸν] τὴν Berol. — 27 καταμεμψέν τε Berol. — 29 συνομολογήσασά μοι] συνομολογησάμενοι Busb. — παρθένοις Busb.



Zonaras I p. 474 Bonn.

μετ᾽ ὀλίγας ἡμέρας τελευτᾷ. τῆς δὲ Ἀρχελάου χώρας ὑποτελοῦς προσνεμηθείσης τῇ Σύρων 355
πέμπεται Κυρήνιος ὑπὸ Καίσαρος ἀνὴρ ὑπατικὸς ἀποτιμησόμενος τὰ ἐν Συρίᾳ καὶ τὸν
Ἀρχελάου ἀποδωσόμενος οἶκον.

## Φλαυίου Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιολογίας λόγος ιη΄.

περιέχει δὲ ὁ λόγος χρόνον ἐτῶν τριακονταδύο.

Κυρηνίου δὲ σταλέντος ἐπὶ Συρίας ὑπὸ Καίσαρος δικαιοδότου τοῦ ἔθνους καὶ τιμητοῦ
τῶν οὐσιῶν, Κοπώνιος αὐτῷ συγκαταπέμπεται τάγματος τῶν ἱππέων, ἡγησόμενος Ἰουδαίων 2
τῇ ἐπὶ πᾶσιν ἐξουσίᾳ. παρῆν δὲ καὶ Κυρήνιος εἰς τὴν Ἰουδαίαν προσθήκην τῆς Συρίας
γενομένην ἀποτιμησόμενός τε αὐτῶν τὰς οὐσίας καὶ ἀποδωσόμενος τἀρχελάου χρήματα.
οἱ δὲ καίπερ τὸ κατ᾽ ἀρχὰς ἐν δεινῷ φέροντες τὴν ἐπὶ ταῖς ἀπογραφαῖς ἀκρόασιν 3
ὑποκατέβησαν τοῦ εἰς πλέον ἐναντιοῦσθαι πείσαντος αὐτοὺς τοῦ ἀρχιερέως Ἰωαζάρου,
Βοηθοῦ δὲ οὗτος υἱὸς ἦν. Γαυλανίτης δέ τις ἀνὴρ ἐκ πόλεως ὄνομα Γάβαλα 4
Σάδδωκον Φαρισαῖον προσλαβόμενος ἠπείγετο ἐπὶ ἀποστάσει, τήν τε ἀποτίμησιν
οὐδὲν ἄλλο ἐπιφέρειν λέγοντες ἢ ἄντικρυς δουλείαν καὶ τῆς ἐλευθερίας ἐπ᾽ ἀντιλήψει
παρακαλοῦντες τὸ ἔθνος, ἐπὶ φόνον τὲ τῶν ταῦτ᾽ ἐνεργούντων ἐρεθίζοντες. ἡδονῇ 5 6
δὲ τὴν ἀκρόασιν ὧν λέγοιεν τῶν ἀνθρώπων δεχομένων προὔκοπτεν ἐπὶ μέγα ἡ ἐπι-
βολὴ τοῦ τολμήματος, κακὸν δὲ οὐκ ἔστιν, οὗ μὴ φύντος ἐκ τῶνδε τῶν ἀνδρῶν καὶ
παραιτέρω τοῦ εἰπεῖν ἀνεπλήσθη τὸ ἔθνος πολέμων καὶ λῃστηρίων μεγάλων καὶ δια- 7
φθορᾶς ἀνδρῶν τῶν πρώτων, δόξῃ μὲν τοῦ ὀρθουμένου τῶν κοινῶν, ἔργῳ δὲ οἰκείων
κερδῶν ἐλπίσιν. ἐξ ὧν στάσεις τε ἐφύησαν καὶ φόνος πολιτικός, ὁ μὲν ἐμφυλίοις σφαγαῖς, 8
ὁ δὲ τῶν πολεμίων, λιμὸς τὲ εἰς ὑστάτην ἀνακείμενος ἀναισχυντίαν, καὶ πόλεων ἁλώσεις
καὶ κατασφαγαί, μέχρι δὴ καὶ τὸ ἱερὸν τοῦ θεοῦ ἐνείματο πυρὶ τῶν πολεμίων ἥδε ἡ
στάσις. οὕτως ἄρα ἡ τῶν πατρίων καίνισις καὶ μεταβολὴ μεγάλας ἔχει ῥοπὰς τοῦ ἀπο- 9
λουμένου τοῖς συνελθοῦσιν, εἴ γε καὶ Ἰούδας καὶ Σάδδουκος τετάρτην φιλοσοφίαν ἐπείσα-
κτον ἡμῖν ἐγείραντες καὶ ταύτης ἐραστῶν εὐπορηθέντες πρός τε τὸ παρὸν θορύβων τὴν
πολιτείαν ἐνέπλησαν καὶ τῶν αὖθις κατειληφότων κακῶν ῥίζας ἐφύτευσαν τῷ ἀσυνήθει
πρότερον φιλοσοφίας τοιᾶσδε, περὶ ἧς ὀλίγα πρότερον βούλομαι διελθεῖν. 10
Ἰουδαίοις φιλοσοφίαι τρεῖς ἦσαν ἐκ τοῦ πάνυ ἀρχαίου τῶν πατρίων, ἥ τε τῶν 11
Ἐσσηνῶν καὶ ἡ τῶν Σαδδουκαίων, τρίτην δὲ ἐφιλοσόφουν οἱ Φαρισαῖοι λεγόμενοι. καὶ
τυγχάνει μέντοι περὶ αὐτῶν ἡμῖν εἰρημένον ἐν τῇ δευτέρᾳ βίβλῳ τοῦ Ἰουδαϊκοῦ πολέμου,
μνησθήσομαι δ᾽ ὅμως καὶ νῦν αὐτῶν ἐπ᾽ ὀλίγον. οἵ τε Φαρισαῖοι γὰρ τὴν δίαιταν ἐξευτε- 12

---

2 τὸν] τοῦ Busb. — 3 ἀρχέλαον ἀποδωσώμενος Berol. — 4 titulum bis scripsit et in libri XVII calce et in XVIII fronte, priore loco induxit et ascripsit τέλος τοῦ ιζ ἑβδόμου (ἑβδόμου deletum) λόγου Berol. — 4 λόγος om. Berol. — ιη΄] ὀκτωκαιδέκατος Berol. — 5 δὲ om. Berol. — 6 § 1—84 praeter Busbekianum et Berolinensem collatus est Laurentianus plut. 69 cod. 23. — 9 γενομένων Berol. — ἀποδοσόμενος Berol. — τὰ ἀρχελάου Busb. Laur. — 12 Γάμαλα Iosephus. — 13 Σάδδωκον] σάδδοκον Berol. Σαδδὼκ Zon. σάδδουκον Busb. Laur. — ἐπείγετο Berol. — 16 ἐπιβουλὴ Berol. Laur. — 17 κακῶν δὲ Berol. — 22 κατασκαφαὶ Laur. — δὴ] δὲ Berol. — 23 ἀπολομένου Busb. Laur. — 27 πρότερον om. Iosephus. — 28 i. marg. β΄ Busb. — 23 ἥ τε] ἕ τε Berol. — 30 εἰρημένα Laur. cum Iosepho. — 31 ὀλίγων man. 1 Busb.

Zonaras I p. 475 Bonn.

λίζουσιν οὐδὲν ἐς τὸ μαλακώτερον ἐνδιδόντες, ὧν τὲ ὁ λόγος κρίνας παρέδωκεν ἀγαθῶν
ἕπονται τῇ ἡγεμονίᾳ περιμάχητον ἡγούμενοι τὴν φυλακὴν ὧν ἀπαγορεύειν ἠθέλησε. τιμῆς
γε τοῖς ἡλικίᾳ προήκουσι παραχωροῦσιν οὐδ' ἐπ' ἀντιλέξει τῶν εἰσηγηθέντων * θράσει
13 ἐπαιρόμενοι. πράσσεσθαί τε εἱμαρμένῃ τὰ πάντ' ἀξιοῦντες οὐδὲ τοῦ ἀνθρωπείου
τὸ βουλόμενον τῆς ἐπ' αὐτοῖς ὁρμῆς ἀφαιροῦνται δοκῆσαν τῷ θεῷ κρᾶσιν γενέσθαι καὶ
τῷ ἐκείνης βουλευτηρίῳ καὶ τῶν ἀνθρώπων τὸ ἐθελῆσαν προσχωρεῖν μετ' ἀρετῆς ἢ κακίας.
14 ἀθάνατόν τε ἰσχὺν ταῖς ψυχαῖς πίστις αὐτοῖς εἶναι καὶ ὑποχθονίους δικαιώσεις τὲ καὶ
τιμὰς οἷς ἀρετῆς ἢ κακίας ἐπιτήδευσις ἐν τῷ βίῳ γέγονε, καὶ ταῖς μὲν εἱργμὸν ἀΐδιον
15 προστίθεσθαι, ταῖς δὲ ῥᾳστώνην τοῦ ἀναβιοῦν. καὶ δι' αὐτὰ τοῖς τε δήμοις πιθανώτατοι
τυγχάνουσι καὶ ὁπόσα θεῖα ἔχεται εὐχῶν τὲ καὶ ἱερῶν ποιήσεως ἐξηγήσει τῇ ἐκείνων τυγ-
χάνουσι πρασσόμενα. ἐς τοσόνδε ἀρετὴν αὐτοῖς αἱ πόλεις ἐμαρτύρησαν τοῦ ἐπὶ πᾶσι
16 κρείσσονος ἐπιτηδεύσει ἔν τε τῇ διαίτῃ τοῦ βίου καὶ λόγοις. Σαδδουκαίοις δὲ τάς τε
ψυχὰς ὁ λόγος συναφανίζει τοῖς σώμασι, φυλακῇ δὲ οὐδαμῶς μεταποίησις αὐτοῖς ἢ τῶν
νόμων· πρὸς γὰρ τοὺς διδασκάλους σοφίας, ἣν μετίασιν, ἀμφιλογεῖν ἀρετὴν ἀριθμοῦσιν.
17 εἰς ὀλίγους δὲ ἄνδρας οὗτος ὁ λόγος ἀφίκετο, τοὺς μέντοι πρώτους τοῖς ἀξιώμασι, πράσ-
σεταί τε ἀπ' αὐτῶν οὐδὲν ὡς εἰπεῖν· ὁπότε γὰρ ἐπ' ἀρχὰς παρέλθοιεν, ἀκουσίως μὲν καὶ
κατ' ἀνάγκας, προσχωροῦσι δ' οὖν οἷς ὁ Φαρισαῖος λέγει διὰ τὸ μὴ ἄλλως ἀνεκτοὺς
18 γενέσθαι τοῖς πλήθεσιν. Ἐσσηνοῖς δὲ ἐπὶ μὲν θεῷ καταλιπεῖν φιλεῖ τὰ πάντα ὁ λόγος,
19 ἀθανατίζουσι δὲ τὰς ψυχὰς περιμάχητον ἡγούμενοι τοῦ δικαίου τὴν πρόσοδον. εἰς δὲ τὸ
ἱερὸν ἀναθήματα στέλλοντες θυσίας οὐκ ἐπιτελοῦσι διαφορότητι ἁγνειῶν, ἃς νομίζοιεν,
καὶ διατοῦτο εἰργόμενοι τοῦ κοινοῦ τεμενίσματος ἐφ' ἑαυτῶν τὰς θυσίας ἐπιτελοῦσι.
20 βέλτιστοί τε ἄλλως ἄνδρες τὸν τρόπον καὶ τὸ πᾶν πονεῖν ἐπὶ γεωργίᾳ τετραμμένοι. ἄξιον
δὲ αὐτῶν θαυμάσαι παρὰ πάντας τοὺς ἀρετῆς μεταποιουμένους τὸ δίκαιον μηδαμῶς
ὑπάρξαν Ἑλλήνων ἢ βαρβάρων τισίν, ἀλλὰ μηδ' εἰς ὀλίγον, ἐκείνοις δ' ἐκ παλαιοῦ συνελ-
θόν, ἐν τῷ ἐπιτηδεύεσθαι μὴ κεκωλύσθαι τὰ χρήματα κοινὰ αὐτοῖς εἶναι, ἀπολαύει δὲ
οὐδὲν ὁ πλούσιος τῶν οἰκείων μειζόνως ἢ ὁ μηδοτιοῦν κεκτημένος· καὶ τάδε πράσσουσιν
21 ἄνδρες ὑπὲρ τετρακισχίλιοι τὸν ἀριθμὸν ὄντες. καὶ οὔτε γαμετὰς εἰσάγονται οὔτε δούλων
ἐπιτηδεύουσι κτῆσιν, τὸ μὲν εἰς ἀδικίαν φέρειν ὑπειληφότες, τὸ δὲ στάσεως ἐνδιδόναι
22 ποίησιν, αὐτοὶ δ' ἐφ' ἑαυτῶν ζῶντες διακονίᾳ τῇ ἐπ' ἀλλήλους ἐπιχρῶνται. ἀποδέκτας δὲ
τῶν προσόδων καὶ ὁπόσα ἡ γῆ φέρει χειροτονοῦσιν ἄνδρας ἀγαθούς, ἱερεῖς δὲ ἐπὶ ποιήσει
σίτου τὲ καὶ βρωμάτων προχειρίζονται. ζῶσι δὲ οὐδὲν παρηλλαγμένως, ἀλλ' ὅτι μάλιστα
23 ἐμφερῶς Δακῶν τοῖς πλείστοις λεγομένοις. τῇ δὲ τετάρτῃ τῶν φιλοσοφιῶν ὁ Γαλιλαῖος
Ἰούδας ἡγεμὼν κατέστη, ἧς οἱ τρόφιμοι τὰ μὲν λοιπὰ πάντα γνώμῃ τῶν Φαρισαίων ὁμο-
λογοῦσι, δυσκίνητος δὲ τοῦ ἐλευθέρου ἔρως ἐστὶν αὐτοῖς μόνον ἡγεμόνα καὶ δεσπότην τὸν

3 ἡλικίας Busb. Laur. — post εἰσηγηθέντων spatium vacuum relictum 8—10 litterarum Busb. Laur., 2 litt. Berol.; ταῦτα ἢ erhibet Iosephus — 4 πάντα Busb. Laur. — ἀξιοῦντες ... 5 ἀφαιροῦνται] ἀξιροῦνται (omissis quae interiacent) Berol. — 6 μετὰ Busb. Laur. — 7 πίστεις Berol. — 8 ἢ] καὶ Berol. — 9 τε om. Berol. — 10 καὶ ... 11 τυγχάνουσι om. Berol. — 13 φυλακὴ Berol. Laur. — ἢ] ἡ Busb. Laur. Berol. — 23 παρὰ] παρὶ sic Berol. — 24 βαρβάρων ἢ ἑλλήνων tr. Busb. Laur. — 24 συνελθὼν Busb. Laur. — 32 ἐμφερῶς] ἐμφανῶς Busb. — 32 δωκῶν Berol. — 34 ἡγεμόσι καὶ δεσπόταις Berol.



Zonaras I p. 476 Bonn.

θεὸν ὑπειληφόσι. θανάτων τε ἰδέας ὑπομένειν παρηλλαγμένας ἐν ὀλίγῳ τίθενται καὶ
συγγενῶν καὶ φίλων τιμωρίας ὑπὲρ τοῦ μηδένα ἄνθρωπον προσαγορεύειν δεσπότην. ἑωρα- 24
κόσι δὲ τοῖς πολλοῖς τὸ ἀμετάλλακτον αὐτῶν τῆς ὑπὸ τοιούτοις ἐνστάσεως περαιτέρω
διελθεῖν παρέλιπον· οὐ γὰρ δέδοικα, μὴ εἰς ἀπιστίαν ὑποληφθῇ τι τῶν λεγομένων ἐπ'
αὐτοῖς, τοὐναντίον μὴ ἐλασσόνως τοῦ ἐκείνων καταφρονήματος δέχεσθαι τὴν ταλαιπωρίαν
τῆς ἀλγηδόνος ὁ λόγος ἀφηγῆται. ἀνοίᾳ τὲ τῇ ἐντεῦθεν ἤρξατο νοσεῖν τὸ ἔθνος Γεσσίου 25
Φλώρου, ὃς ἡγεμὼν ἦν, ἐξουσίᾳ τοῦ ὑβρίζειν απονοήσαντος αὐτοὺς ἀποστῆναι Ῥωμαίων.
φιλοσοφεῖται μὲν Ἰουδαίοις τοσάδε.

Κυρήνιος δὲ τὰ Ἀρχελάου χρήματα ἀποδόμενος ἤδη καὶ τῶν ἀποτιμήσεων πέρας 26
ἐχουσῶν, αἳ ἐγένοντο τριακοστῷ καὶ ἑβδόμῳ ἔτει μετὰ τὴν Ἀντωνίου ἐν Ἀκτίῳ ἧτταν ὑπὸ
Καίσαρος, Ἰωάζαρον τὸν ἀρχιερέα καταστασιασθέντα ὑπὸ τῆς πληθύος ἀφελόμενος τὸ
ἀξίωμα τῆς τιμῆς Ἄνανον τὸν Σεθὶ καθιστᾷ ἀρχιερέα. Ἡρώδης δὲ καὶ Φίλιππος τετραρ- 27
χίαν ἑκάτερος τὴν ἑαυτοῦ παρειληφότες καθίσταντο. καὶ Ἡρώδης Σέπφωριν τειχίσας
πρόσχημα τοῦ Γαλιλαίου παντὸς ἦγεν αὐτὴν Αὐτοκρατορίδα· Βηθαραμφὰ δέ, πόλις καὶ
αὕτη τυγχάνει, τείχει περιβαλὼν Ἰουλιάδα ἀπὸ τῆς τοῦ αὐτοκράτορος προσαγορεύει γυναικός.
Φίλιππος δὲ Πανεάδα τὴν πρὸς ταῖς πηγαῖς τοῦ Ἰορδάνου κατασκευάσας ὀνομάζει Και- 28
σάρειαν, κώμην δὲ Βηθσαϊδᾶ πρὸς λίμνῃ τῇ Γεννησαρίτιδι πόλεως παρασχὼν ἀξίωμα
πλήθει τὲ οἰκητόρων καὶ τῇ ἄλλῃ δυνάμει Ἰουλίαν θυγατρὶ τῇ Καίσαρος ὁμώνυμον
ἐκάλεσε.

Κοπωνίου δὲ τὴν Ἰουδαίαν διέποντος, ὃν ἔφην Κυρηνίῳ συνεκπεμφθῆναι, τάδε 29
πράσσεται. τῶν ἀζύμων τῆς ἑορτῆς ἀγομένης, ἣν πάσχα καλοῦμεν, ἐκ μέσης νυκτὸς ἐν
ἔθει τοῖς ἱερεῦσιν ἦν ἀνοιγνύναι τοῦ ἱεροῦ τοὺς πυλῶνας. καὶ τότε οὖν, ἐπεὶ τὸ πρῶτον 30
γίνεται ἡ ἄνοιξις αὐτῶν, ἄνδρες Σαμαρεῖται κρύφα εἰς Ἱεροσόλυμα ἐλθόντες διάρριψιν
ἀνθρωπείων ὀστῶν ἐν ταῖς στοαῖς ποιοῦνται, καὶ διὰ παντὸς τοῦ ἱεροῦ * καὶ Κοπώνιος 31
μετ' οὐ πολὺ εἰς Ῥώμην ἐπαναχωρεῖ, διάδοχος δὲ αὐτῷ τῆς ἀρχῆς παραγίνεται Μάρκος
Ἀμβιβοῦχος, ἐφ' οὗ καὶ Σαλώμη τοῦ βασιλέως Ἡρώδου ἀδελφὴ μεταστᾶσα Ἰουλίᾳ Ἰάμνειάν
τε καταλείπει καὶ τὴν τοπαρχίαν πᾶσαν τήν τε ἐν τῷ πεδίῳ Φασαηλίδα καὶ Ἀρχελαΐδα,
ἔνθα φοινίκων πλείστη φύτευσις καὶ καρπὸς αὐτῶν ἄριστος. διαδέχεται δὲ καὶ τοῦτον 32
Ἄννινος Ῥοῦφος, ἐφ' οὗ δὴ καὶ τελευτᾷ Καῖσαρ, δεύτερος Ῥωμαίων αὐτοκράτωρ γενόμενος,
ἑπτὰ δ' αὐτῷ καὶ πεντήκοντα τῆς ἀρχῆς ἔτη, πρὸς οἷς μῆνες ἓξ ἡμέραιν δυοῖν πλείονες,
τούτου δὲ αὐτῷ τοῦ χρόνου τεσσαρεσκαίδεκα ἔτη συνῆρξεν Ἀντώνιος, ἐβίω δὲ ἔτη ἑπτὰ καὶ
ἑβδομήκοντα. διαδέχεται δὲ τῷ Καίσαρι τὴν ἡγεμονίαν Τιβέριος Νέρων τῆς γυναικὸς αὐτοῦ 33
Ἰουλίας υἱὸς ὤν, τρίτος οὗτος ἤδη αὐτοκράτωρ, καὶ πεμπτὸς ὑπ' αὐτοῦ παρῆν Ἰουδαίοις
ἔπαρχος διάδοχος Ἀννίνου Ῥούφου Οὐαλλέριος Γρᾶτος. ὃς παύσας ἱερᾶσθαι Ἄνανον Ἰσμάηλον 34

1 τε] δὲ Busb. — 7 αὐτοὺς om. Busb. Laur. — 9 i. marg. γ' Busb. — 13 ἡρώδην Busb. Laur. — 14 αὐτὴν om. Busb. Laur. — 17 βησθαϊδᾶ Laur. — 18 οἰκητόρων] οἰκητηρίων Busb. οἰκητηρίω Laur. — 22 ἔθνει man. 1 Busb. — 23 ἐπεὶ] ἐπι Busb. Laur. — 24 post ἱεροῦ lacuna 20—30 litt. in Busb., circiter 40 litt. in Laur., in Berol. nulla lacuna. in Iosephi codd. haec traduntur: ἤρξαντο μὴ πρότερον ἐπὶ τοιούτοις νομίζοντες τά τε ἄλλα διὰ φυλακῆς μείζονος ἦγον τὸ ἱερόν. — 25 ὑπαναχωρεῖ Busb. Laur. — 28 τὴν om. Berol. — 28 δὲ om. Busb. Laur. — τοῦτον] τοῦτο Laur. — 33 παρῆν om. Busb.

Zonaras I p. 477 Bonn.

ἀρχιερέα ἀποφαίνει τοῦ Φαβί, καὶ τοῦτον δὲ μετ' οὐ πολὺ μεταστήσας Ἐλεάζαρον τὸν
Ἀνάνου τοῦ ἀρχιερέως υἱὸν ἀποδείκνυσιν ἀρχιερέα. ἐνιαυτοῦ δὲ διαγενομένου καὶ τόνδε
35 παύσας Σίμωνι τῷ Καμίθου τὴν ἀρχιερωσύνην παραδίδωσιν. οὐ πλείων δὲ καὶ τῷδε
ἐνιαυτοῦ τὴν τιμὴν ἔχοντι διεγένετο χρόνος, καὶ Ἰώσηπος ὁ Καϊάφας διάδοχος ἦν αὐτῷ.
καὶ Γράτος μὲν ταῦτα πράξας εἰς Ῥώμην ἐπαναχωρεῖ ἕνδεκα ἔτη διατρίψας ἐν Ἰουδαίᾳ,
36 Πόντιος δὲ Πιλάτος διάδοχος αὐτῷ ἧκεν. Ἡρώδης δὲ ὁ τετράρχης, ἐπὶ μέγα γὰρ ἦν τῷ
Τιβερίῳ φιλίας προελθών, οἰκοδομεῖται πόλιν ἐπώνυμον αὐτῷ Τιβεριάδα τοῖς κρατίστοις
ἐπικτίσας αὐτὴν τῆς Γαλιλαίας ἐπὶ λίμνῃ τῇ Γεννησαρίτιδι. θερμὰ δὲ οὐκ ἄποθεν ἐστὶν
37 ἐν κώμῃ, Ἀμμαθοῦς ὄνομα αὐτῇ. σύγκλυδες δὲ ᾤκησαν, οὐκ ὀλίγον δὲ καὶ τὸ Γαλιλαῖον ἦν,
καὶ ὅσοι μὲν ἐκ τῆς ὑπ' αὐτῷ γῆς ἀναγκαστοὶ καὶ πρὸς βίαν εἰς κατοικίαν ἀγόμενοι, τινὲς
δὲ καὶ τῶν ἐν τέλει. ἐδέξατο δὲ αὐτοῖς συνοίκους καὶ τοὺς πανταχόθεν ἐπισυναγομένους
38 ἄνδρας ἀπόρους, ἔστι δὲ οὓς μήτε σαφῶς ἐλευθέρους, πολλὰ τὲ αὐτοὺς κἀπὶ πολλοῖς
ἠλευθέρωσε καὶ εὐηργέτησεν, ἀνάγκασμα τοῦ μὴ ἀπολείψειν τὴν πόλιν ἐπιθείς, κατασκευαῖς
τὲ οἰκήσεων καὶ γῆς ἀποδόσει, εἰδὼς παράνομον τὸν οἰκισμὸν ὄντα καὶ ἀπὸ τοῦ Ἰουδαίοις
πατρίου διὰ τὸ ἐπὶ μνήμασιν, ἃ πολλὰ τῇδε ἦν, ἀνῃρημένοις τὴν ἵδρυσιν τῇ Τιβεριάδι
γενέσθαι· μιαροὺς δὲ ἐπὶ ἑπτὰ ἡμέρας εἶναι τοὺς οἰκήτορας ἀγορεύει ἡμῖν τὸ νόμιμον.
39 Τελευτᾷ δὲ καὶ Φραάτης ὁ Παρθυαίων βασιλεὺς κατὰ τοῦτον τὸν χρόνον ἐπιβου-
40 λευθεὶς ὑπὸ Φραατάκου τοῦ υἱέος· Φραάτης γὰρ παίδων αὐτῷ γνησίων γενομένων Ἰταλικῇ
παιδίσκῃ, ὄνομα αὐτῇ Θεσμοῦσα, ὑπὸ Ἰουλίου Καίσαρος μετ' ἄλλων δωρεῶν ἀπεσταλμένῃ
τὸ μὲν πρῶτον παλακῇ ἐκέχρητο, καταπλαγεὶς δὲ τῷ πολλῷ τῆς εὐμορφίας προϊόντος τοῦ
χρόνου καὶ παιδὸς αὐτῇ ἐκ Φραάτου γενομένου γαμετήν τὲ τὴν ἄνθρωπον ἀποφαίνεται
41 καὶ τιμίαν ἦγεν. ἐπὶ πᾶσι δ' οἷς εἴποι πιθανὴ τῷ βασιλεῖ γεγονυῖα καὶ σπεύδουσα τῷ
42 αὐτῆς παιδὶ γενέσθαι τὴν Πάρθων ἡγεμονίαν, πείθει αὐτὸν ἐκπέμπειν εἰς Ῥώμην ἐφ'
ὁμηρείαν τοὺς γνησίους παῖδας. καὶ οὗτοι μὲν ἐξεπέμποντο. Φραατάκης δὲ μόνος ἐπὶ
τοῖς πράγμασι τρεφόμενος ἐπεβούλευσε τῷ πατρὶ συμπράξει τῆς μητρός, ᾗ δὴ καὶ συνιέναι
43 λόγος. καὶ δι' ἀμφότερα μισηθεὶς οὐδὲν ἧσσον τῆς πατροκτονίας τὸ μύσος τοῦ τῆς μητρὸς
ἔρωτος τιθεμένων τῶν ὑπηκόων, στάσει περιελαθεὶς πρότερον ἢ φῦναι μέγας ἐξέπιπτε
44 τῶν πραγμάτων καὶ οὕτω θνήσκει. συμφρονήσαντες δὲ οἱ γενναιότατοι Πάρθων Ἡρώδην
ἐκάλουν ἕνα τῶν ἐκ τοῦ Ἀρσακιδῶν γένους, οὐ γὰρ ἑτέροις ἄρχειν νόμιμον, ἦν δ' ἄλλως
ἐπίφθονον παρὰ τῷ πλήθει καὶ ὑπαίτιον καθ' ὑπερβολὰς ὠμότητος· πάνυ γὰρ ἦν σκαιὸς
45 καὶ δυσδιάθετος ὀργήν. τοῦτον μὲν δὴ συστάντες ἀποκτείνουσι. πρεσβεύσαντες δὲ εἰς
46 Ῥώμην ᾐτοῦντο βασιλέα τῶν ὁμηρευόντων, καὶ πέμπεται Βοώνης προκριθεὶς τῶν ἀδελφῶν.
47 ταχεῖα δὲ ἀνατροπὴ τοὺς βαρβάρους ὕπεισιν ἅτε καὶ σφαλεροὺς φύσει ὄντας πρός τε
τὴν ἀναξιοπάθειαν· ἀνδραπόδῳ γὰρ ἀλλοτρίῳ ποιήσειν τὸ πραττόμενον ἠξίουν, τὴν

1 τοῦ] τὸν τοῦ Zon. cum Iosepho. — τὸν] τοῦ Busb. Laur. — 3 πάσας Berol. — 5 ἀπαναχωρεῖ Busb. Laur. — διαρίψας Berol. — 7 οἰκονομεῖται Berol. — ἐπώνυμον om. Busb. Laur. — τὰβεριάδα Berol. — 10 ἀναγόμενοι Berol. — 13 ἀναγκασμένα Berol. — 18 φραατάλου Berol. φραάτου Busb. — υἱέως Laur. et man. 1 Busb. — 18 γὰρ om. Laur. — 20 παλλακῇ ex corr. Busb. — 22 εἴπῃ Berol. — 24 ἐξεπέμπετο Berol. — 26 ἧσσον ex ἦσαν corr. Berol. — 29 νόμιμα Berol. — 30 καθ'] καὶ Berol. — 31 ἀποκτένουσι Berol. — 31 πρεσβεύσαντας man. 1 Busb. πρεσβεύσαντος Berol. — 33 ταχεῖα] ταχείους Berol. — τοὺς] τὰ Berol. — 34 ἀξιοπάθειαν Busb. Laur.



Zonaras I p. 477 Bonn.

ὁμηρείαν ἀντὶ δουλείας ὀνομάζοντες. ἐκάλουν δὲ Ἀρτάβανον Μηδείας βασιλεύοντα γένος 48
Ἀρσακίδην· πείθεται δὲ Ἀρτάβανος καὶ μετὰ στρατιᾶς ἔπεισιν. ὑπαντιάζει δὲ αὐτὸν
Βοώνης καὶ τὸ μὲν πρῶτον συμφρονήσαντος αὐτῷ τοῦ πλήθους τῶν Πάρθων παραταξά-
μενος νικᾷ, καὶ φεύγει πρὸς τοὺς ὅρους τῆς Μηδίας Ἀρτάβανος. καὶ μετ' οὐ πολὺ συνα- 49
γαγὼν στρατιὰν συμβάλλει τῷ Βοώνῃ καὶ νικᾷ, καὶ Βοώνης εἰς Σελεύκειαν ἀφιππάζεται
σὺν ὀλίγοις τοῖς περὶ αὐτόν. Ἀρτάβανος δὲ πολὺν τῇ τροπῇ φόνον ἐργασάμενος πρὸς
Κτησιφῶντα μετὰ τοῦ πλήθους ἀναχωρεῖ. κἀκεῖνος μὲν ἐβασίλευσεν ἤδη Πάρθων, Βοώνης 50
δὲ εἰς Ἀρμενίαν διαπίπτει. καὶ κατ' ἀρχὰς μὲν ἐφίετο τῆς χώρας καὶ πρὸς Ῥωμαίους
ἐπρέσβευεν. ὡς δὲ αὐτῷ Τιβέριος μὲν ἀπεῖπε πρός τε τὴν ἀνανδρίαν καὶ τοῦ Πάρθου 51
τὰς ἀπειλάς, ἀναπρεσβεύει γὰρ δὴ πόλεμον ἀνατεινόμενος, μηχανὴ δὲ ἦν ἑτέρας βασι-
λείας οὐδεμία, καὶ γὰρ οἱ περὶ Νιφάτην δυνατοὶ τῶν Ἀρμενίων Ἀρταβάνῳ προστίθενται,
παραδίδωσιν αὐτὸν Σιλανῷ τῷ τῆς Συρίας στρατηγῷ. κἀκεῖνος μὲν κατὰ αἰδῶ τῆς 52
ἐν Ῥώμῃ κομιδῆς ἐν Συρίᾳ παρεφυλάττετο· τὴν δὲ Ἀρμενίαν Ὀρώδῃ δίδωσιν Ἀρτά-
βανος ἑνὶ τῶν αὐτοῦ παίδων. ἐτελεύτησε δὲ καὶ ὁ τῆς Κομμαγηνῆς βασιλεὺς Ἀντίοχος, 53
διέστη δὲ τὸ πλῆθος πρὸς τοὺς γνωρίμους καὶ πρεσβεύουσιν ἀφ' ἑκατέρου μέρους, οἱ μὲν
δυνατοὶ μεταβάλλειν τὸ σχῆμα τῆς πολιτείας εἰς ἐπαρχίαν ἀξιοῦντες, τὸ δὲ πλῆθος
βασιλεύεσθαι κατὰ τὰ πάτρια. καὶ ψηφίζεται ἡ σύγκλητος Γερμανικὸν πέμπειν διορθώ- 54
σοντα τὰ κατὰ τὴν ἀνατολὴν πραγματευομένης αὐτῷ τῆς τύχης εὐκαιρίαν τοῦ θανάτου·
καὶ γὰρ γενόμενος κατὰ τὴν ἀνατολὴν καὶ πάντα διορθώσας ἀνῃρέθη φαρμάκῳ ὑπὸ
Πίσωνος.

Πιλᾶτος δὲ ὁ τῆς Ἰουδαίας ἡγεμὼν στρατιὰν ἐκ Καισαρείας ἀγαγὼν καὶ μεθιδρύσας 55
χειμαδιοῦσαν ἐν Ἱεροσολύμοις ἐπὶ καταλύσει τῶν νόμων τῶν Ἰουδαϊκῶν ἐφρόνησε, προ-
τομὰς Καίσαρος, αἳ ταῖς σημαίαις προσῆσαν, εἰσαγόμενος εἰς τὴν πόλιν, εἰκόνων ποίησιν
ἀπαγορεύοντος ἡμῖν τοῦ νόμου. καὶ διὰ τοῦτο οἱ πρότερον ἡγεμόνες ταῖς μὴ μετὰ τοιῶνδε 56
κόσμων σημαίαις ἐποιοῦντο εἴσοδον τῇ πόλει. πρῶτος δὲ Πιλᾶτος ἀγνοίᾳ τῶν ἀνθρώπων
διὰ τὸ νύκτωρ γενέσθαι τὴν εἴσοδον ἱδρύεται τὰς εἰκόνας φέρων εἰς Ἱεροσόλυμα. οἱ δ' 57
ἐπεὶ ἔγνωσαν κατὰ πληθὺν παρῆσαν εἰς Καισάρειαν ἱκετείαν ποιούμενοι ἐπὶ πολλὰς
ἡμέρας ἐπὶ μεταθέσει τῶν εἰκόνων. καὶ μὴ συγχωροῦντος διὰ τὸ εἰς ὕβριν Καίσαρι φέρειν,
ἐπείπερ οὐκ ἐξανεχώρουν λιπαρεῖν, κατὰ τὴν ἕκτην ἡμέραν ἐν ὅπλοις ἀφανῶς ἐπικαθίσας
τὸ στρατιωτικὸν αὐτὸς ἐπὶ τὸ βῆμα ἧκε. τὸ δὲ ἐν τῷ σταδίῳ κατεσκεύαστο, ὅπερ ἀπέ-
κρυπτε τὸν ἐφεδρεύοντα στρατόν. πάλιν δὲ τῶν Ἰουδαίων ἱκετείᾳ χρωμένων ἀπὸ συν- 58
θήματος περιστήσας τοὺς στρατιώτας ἠπείλει θάνατον ἐπιθήσειν ζημίαν, εἰ μὴ πανσά-
μενοι θορυβεῖν ἐπὶ τὰ οἰκεῖα ἀπίοιεν. οἱ δὲ πρηνεῖς ῥίψαντες ἑαυτοὺς καὶ γυμνούμενοι 59
πρὸς σφαγὰς ἡδονῇ δέξασθαι τὸν θάνατον ἔλεγον ἢ τολμήσειν τὴν σοφίαν παραβήσεσθαι
τῶν νόμων. καὶ Πιλᾶτος θαυμάσας τὸ ὀχυρὸν αὐτῶν ἐπὶ φυλακῇ τῶν νόμων παραχρῆμα
τὰς εἰκόνας ἐκ τῶν Ἱεροσολύμων ἐπανεκόμισεν εἰς Καισάρειαν. ὑδάτων δὲ ἐπαγωγὴν εἰς 60

1 ὀνομάζοντα Berol. — Μηδείας βασιλεύοντα in ras. Laur. — μηδίας Berol. — 2 ἀρτάβανος, ν ex ζ corr. vid. Berol. — 5 Βοώνῃ καὶ] βοώνης Berol. — ἐλεύκειαν Berol. — 6 ὀλίγοις ex λόγοις corr. Busb. — 10 ἑτέρα Laur. — 12 συλανῷ Busb. — 17 διορθώσαντα Berol. — 18 τὴν om. Busb. Laur. — 23 δημαίαις Berol. — 24 ταῖς] τοὺς Berol. — 28 ὕβριν, inter ι et ν una litt. erasa Busb. — 32 παραστήσας Berol. — 35 αὐτῶν om. Berol. — τῶν suppl. Berol.

Zonaras I p. 479 Bonn.

τὰ Ἱεροσόλυμα ἔπραξε δαπάνῃ τῶν ἱερῶν χρημάτων ἐκλαβὼν τὴν ἀρχὴν τοῦ ῥεύματος
ὅσον ἀπὸ διακοσίων σταδίων, οἱ δὲ οὐκ ἠγάπων τοῖς ἀμφὶ τὸ ὕδωρ χρωμένοις, πολλαί τε
μυριάδες ἀνθρώπων συνελθόντες κατεβόων αὐτοῦ παύσασθαι τοῦ ἐπὶ τοιούτοις προθυ-
μουμένου, τινὲς δὲ καὶ λοιδορίᾳ χρώμενοι ὕβριζον εἰς τὸν ἄνδρα, οἷα δὴ φιλεῖ πράσσειν
61 ὅμιλος. ὁ δὲ στολῇ τῇ ἐκείνων πολὺ πλῆθος στρατιωτῶν ἀμπισχόμενον, οἳ ἔφερον σκυ-
τάλας ὑπὸ ταῖς στολαῖς, διαπέμψας εἰς ὃ περιέλθοιεν αὐτούς, αὐτὸς ἐκέλευεν ἀναχωρεῖν.
τῶν δὲ ὡρμηκότων εἰς τὸ λοιδορεῖν ἀποδίδωσι τοῖς στρατιώταις ὃ προσυνέκειτο σημεῖον.
62 οἱ δὲ καὶ πολὺ μειζόνως ἤπερ ἐπέταξε Πιλᾶτος ἐχρῶντο πληγαῖς τούς τε θαρυβοῦντας ἐν
ἴσῳ καὶ μὴ κολάζοντες. οἱ δ' εἰσεφέροντο μαλακὸν οὐδέν, ὥστε ἄοπλοι ληφθέντες ὑπ'
ἀνδρῶν ἐκ παρασκευῆς ἐπιφερομένων πολλοὶ μὲν αὐτῶν ταύτῃ καὶ ἀπέθνησκον, οἱ δὲ καὶ
τραυματίαι ἀνεχώρησαν. παύεται δ' ἡ στάσις.
63 Γίνεται δὴ κατὰ τοῦτον τὸν χρόνον Ἰησοῦς σοφὸς ἀνήρ, εἴγε ἄνδρα αὐτὸν λέγειν
χρή· ἦν γὰρ παραδόξων ἔργων ποιητής, διδάσκαλος ἀνθρώπων τῶν σὺν ἡδονῇ τἀληθῆ
δεχομένων, καὶ πολλοὺς μὲν Ἰουδαίους, πολλοὺς δὲ καὶ τοῦ Ἑλληνικοῦ ἐπηγάγετο· ὁ χριστὸς
64 οὗτος ἦν. καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν σταυρῷ ἐπιτετιμηκότος
Πιλάτου οὐκ ἐπαύσαντο οἱ τὸ πρῶτον αὐτὸν ἀγαπήσαντες· ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων
ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε καὶ ἄλλα μυρία περὶ αὐτοῦ θαυμάσια
εἰρηκότων. εἰσέτι τε νῦν τῶν Χριστιανῶν ἀπὸ τοῦδε ὠνομασμένον οὐκ ἐπέλιπε τὸ
65 φῦλον. καὶ ὑπὸ τοὺς αὐτοὺς δὲ χρόνους ἕτερόν τι δεινὸν ἐθορύβει τοὺς Ἰουδαίους καὶ
περὶ τὸ ἱερὸν τῆς Ἴσιδος τὸ ἐν Ῥώμῃ πράξεις αἰσχυνῶν οὐκ ἀπηλλαγμέναι συντυγχάνουσι.
καὶ πρότερον τοῦ τῶν Ἰσιακῶν τολμήματος μνήμην ποιησάμενος οὕτως μεταγάγω τὸν
66 λόγον ἐπὶ τὰ ἐν τοῖς Ἰουδαίοις γεγονότα. Παυλίνα ἦν τῶν ἐπὶ Ῥώμης προγόνων τε
ἀξιώματι καὶ τῷ καθ' ἑαυτὴν ἐπιτηδεύματι ἀρετῆς εἰς μέγα προϊοῦσα, δύναμίς τε αὐτῇ
χρημάτων ἦν καὶ γεγονυῖα τῇ ὄψει εὐπρεπὴς καὶ τῆς ὥρας ἐν ᾗ μάλιστα ἀγάλλονται αἱ
γυναῖκες εἰς τὸ σωφρονεῖν ἀνέκειτο ἡ ἐπιτήδευσις τοῦ βίου. ἐγεγάμητο δὲ Σατορνίνῳ εἰς
67 τὰ πάντα ἀντισουμένῳ τῶν περὶ αὐτὴν ἀξιολόγων. ταύτης ἐρᾷ Δέκιος Μοῦνδος τῶν τότε
ἱππέων ἐν ἀξιώματι μεγάλῳ, καὶ μείζονος γὰρ οὔσης ἁλῶναι δώροις διὰ τὸ καταπεμφθέντων
εἰς πλῆθος ὑπεριδεῖν ἐξῆπτο μᾶλλον, ὥστε καὶ εἴκοσι μυριάδας δραχμῶν Ἀττικῶν ὑπι-
68 σχεῖται εὐνῆς μιᾶς. καὶ μηδ' ὣς ἐπικλωμένης, οὐ φέρων τὴν ἀτυχίαν τοῦ ἔρωτος ἐνδείᾳ
69 σιτίων θάνατον ἐπιτιμᾶν αὐτῷ καλῶς ἔχειν ἐνόμισεν. ἦν δὲ Ἴδη πατρῷος ἀπελευθέρα
τῷ Μούνδῳ παντοίων ἴδρις κακῶν. αὕτη δεινῶς φέρουσα τοῦ νεανίσκου τῷ ψηφίσματι
τοῦ θανεῖν, ἀνεγείρει τε αὐτὸν ἀφικομένη διὰ λόγου πιθανή τε ἦν ἐλπίδων τινῶν ὑπο-
70 σχέσεσιν, ὡς διαπραχθησομένων ὁμιλιῶν πρὸς τὴν Παυλίναν αὐτῷ. καὶ δεχομένου τὴν
ἱκεσίαν ἡδονῇ πέντε μυριάδων δεήσειν αὐτῇ μόνων ἔλεγεν ἐπὶ δόσει τῆς γυναικός.
καὶ ἡ μὲν ἐπὶ τούτοις ἀνεγείρασα τὸν νεανίσκον καὶ τὸ αἰτηθὲν λαβοῦσα ἀργύριον οὐ τὰς
αὐτὰς ὁδοὺς ἐστέλλετο τοῖς προδεδιακονημένοις, ὁρῶσα τῆς γυναικὸς τὸ μηδαμῶς χρημάτων

2 πολλαὶ] πολλὰς Berol. — 4 ἄνδραν Berol. — 6 ἀνεχωρεῖν Berol. — 7 προσυνέκειτο] προσενεγκειτὸ Berol. — 13 σὺν, ὺν i. ras. Berol. — ἡδονῆν man. 1 Berol. — 20 ἀπηλαγμένοι man. 1 το Busb. — 21 μετάγω Berol. — 25 ἀνέκειτο, ει ex ῖ corr. Busb. — ἀνέκειτο ἡ] ἀνέκειν, ν i. ras. ex η corr. Laur. — 16 αἰτὴν] αὐτὰ Berol.



Zonaras I p. 481 Bonn.

ἁλισκόμενον, εἰδυῖα δὲ αὐτὴν τῇ θεραπείᾳ τῆς Ἴσιδος σφόδρα ὑπηγμένην τεχνᾶταί τι
τοιόνδε. τῶν ἱερέων τισὶν ἀφικομένη διειλέχθη ἐπὶ πίστεσι μεγάλαις, τὸ δὲ μέγιστον 71
δόσει χρημάτων τὸ μὲν παρὸν μυριάδων δυεῖν καὶ ἡμισείᾳ, λαβόντος δ' ἔκβασιν τοῦ
πράγματος ἑτέρῳ τοσῷδε, διασαφεῖ τοῦ νεανίσκου τὸν ἔρωτα αὐτοῖς, κελεύουσα παντοίως
ἐπιλήψεσθαι τῆς ἀνθρώπου σπουδάσαι. οἱ δ' ἐπὶ πλήθει τοῦ χρυσίου παραχθέντες 72
ὑπισχνοῦντο, καὶ αὐτῶν ὁ γεραίτατος ὡς τὴν Παυλίναν ὠσάμενος γενομένων εἰσόδων
καταμόνας διὰ λόγων ἐλθεῖν ἠξίου. καὶ συγχωρηθῆναι πεμπτὸς ἔλεγεν ἥκειν ὑπὸ τοῦ
Ἀνούβιδος ἔρωτι αὐτῆς ἡσσημένου τοῦ θεοῦ κελεύοντός τε ὡς αὐτὸν ἐλθεῖν. τῇ δὲ εὐκτὸς 73
ὁ λόγος ἦν καὶ ταῖς τε φίλαις ἐνεκαλλωπίζετο τῇ ἐπὶ τοιούτοις ἀξιώσει τοῦ Ἀνούβιδος καὶ
φράζει πρὸς τὸν ἄνδρα, δεῖπνον τε αὐτῇ καὶ εὐνὴν τοῦ Ἀνούβιδος εἰσηγγέλθαι, συνεχώρει
δ' ἐκεῖνος τὴν σωφροσύνην ἐξεπιστάμενος τῆς γυναικός. χωρεῖ οὖν εἰς τὸ τέμενος, καὶ 74
δειπνήσασα, ὡς ὕπνου καιρὸς ἦν, κλεισθεισῶν τῶν θυρῶν ὑπὸ τοῦ ἱερέως ἔνδον ἐν τῷ
ναῷ καὶ τὰ λύχνα ἐκποδὼν ἦν καὶ ὁ Μοῦνδος, προεκέκρυπτο γὰρ τῇδε, οὐχ ἡμάρτανεν
ὁμιλιῶν τῶν πρὸς αὐτήν. παννύχιόν τε αὐτῷ διηκονήσατο ὑπειληφυῖα θεὸν εἶναι. καὶ 75
ἀπελθόντος πρότερον ἢ κίνησιν ἄρξασθαι τῶν ἱερέων, οἳ τὴν ἐπιβουλὴν ᾔδεσαν, ἡ Παυλίνα
πρωῒ εἰς τὸν ἄνδρα ἐλθοῦσα τὴν ἐπιφάνειαν ἐκδιηγεῖται τοῦ Ἀνούβιδος καὶ πρὸς τὰς
φίλας ἐνελαμπρύνετο λόγοις τοῖς ἐπ' αὐτῷ. οἱ δὲ τὰ μὲν ἠπίστουν εἰς τὴν φύσιν τοῦ 76
πράγματος ὁρῶντες, τὰ δ' ἐν θαύματι καθίσταντο οὐκ ἔχοντες ἄπιστα αὐτὰ κρίνειν,
ὁπότε εἰς τὴν σωφροσύνην καὶ τὸ ἀξίωμα ἀπίδοιεν αὐτῆς. τρίτῃ δὲ ἡμέρᾳ μετὰ τὴν 77
πρᾶξιν ὑπαντιάσας αὐτὴν ὁ Μοῦνδος „Παυλίνα, φησίν, ἀλλά μοι καὶ εἴκοσι μυριάδας
διεσώσω δυναμένη οἴκῳ προσθέσθαι τῷ σαυτῆς, διακονεῖσθαι τε ἐφ' οἷς προεκαλούμην
οὐκ ἐνέλιπες. ἃ μέντοι εἰς Μοῦνδον ὕβρει διεχρῶ, μηδέν μοι μελῆσαν τῶν ὀνομάτων,
ἀλλὰ τῆς ἐκ τοῦ πράγματος ἡδονῆς, Ἀνούβιον ὄνομα ἐθέμην αὐτῷ.“ καὶ ὁ μὲν ἀπῄει 78
ταῦτ' εἰπών, ἡ δὲ εἰς ἔννοιαν τότε πρῶτον ἐλθοῦσα τοῦ τολμήματος περιρρήγνυταί τε
τὴν στολὴν καὶ τἀνδρὶ δηλώσασα τοῦ παντὸς ἐπιβουλεύματος τὸ μέγεθος ἐδεῖτο μὴ
περιῶφθαι βοηθείας τυγχάνειν· ὁ δὲ τῷ αὐτοκράτορι ἐπεσήμανε τὴν πρᾶξιν. καὶ ὁ 79
Τιβέριος μαθήσεως ἀκριβοῦς αὐτῷ γενομένης ἐξετάσει τῶν ἱερέων ἐκείνους τε ἀνεσταύρωσε
καὶ τὴν Ἴδην ὀλέθρου γενομένην αἰτίαν καὶ τὰ πάντα ἐφ' ὕβρει συνθεῖσαν τῆς γυναικός,
τόν τε ναὸν καθεῖλε καὶ τὸ ἄγαλμα τῆς Ἴσιδος εἰς τὸν Θύβριν ποταμὸν ἐκέλευσεν
ἐμβαλεῖν. Μοῦνδον δὲ φυγῆς ἐτίμησε, κώλυμα τοῦ μὴ μειζόνως κολάσαι τὸ μετὰ 80
ἔρωτος αὐτῷ ἡμαρτῆσθαι τὰ ἡμαρτημένα ἡγησάμενος. καὶ ταῦτα μὲν οὕτως·
ἐπάνειμι δὲ ἐπὶ τὴν ἀφήγησιν τῶν ἐν Ῥώμῃ Ἰουδαίοις κατὰ τοῦτον τὸν χρόνον
συντυχόντων, ὥς μοι καὶ προαπεσήμανεν ὁ λόγος. ἦν ἀνὴρ Ἰουδαῖος, φυγὰς τῆς 81
αὐτοῦ κατηγορίᾳ παραβάσεων νόμων τινῶν καὶ δέει τιμωρίας τῆς ἐπ' αὐτοῖς, πονηρὸς δὲ
εἰς τὰ πάντα. καὶ δή ποτε ἐν τῇ Ῥώμῃ διαιτώμενος προσεποιεῖτο μὲν ἐξηγεῖσθαι σοφίαν
νόμων τῶν Μωσέως, προσποιησάμενος δὲ τρεῖς ἄνδρας εἰς τὰ πάντα ὁμοιοτρόπους τούτοις 82
ἐπιφοιτήσασαν Φουλβίαν, τῶν ἐν ἀξιώματι γυναικῶν καὶ νομίμοις προσεληλυθυῖαν τοῖς

1 ἁλισκομένην Berol. — τῇ om. Laur. — 6 ὑπισχνοῦνται Berol. — 13 ἡμάρτανον, ο ex corr. Berol. — 14 πανύχιόν Berol. — 16 εἰς] ὡς Iosephus. — 18 αὐτὰ] αὐτὴν Busb. — 21 σαυτῆς] αυτῆς man. 1 Laur. — 23 αὐτῶ Laur. — 26 ἐπεδήμανε Berol. — 28 γενομένων Berol. — 30 μὴ om. Busb. Laur. — 36 δὲ om. Busb.

Zonaras I p. 482 Bonn.

Ἰουδαϊκοῖς πείθουσι πορφύραν καὶ χρυσὸν εἰς τὸ ἐν Ἱεροσολύμοις ἱερὸν διαπέμψασθαι,
83 καὶ λαβόντες ἀνάλωμα ταῦτα ἐπὶ χρείαις οἰκείαις ποιοῦνται. καὶ ὁ Τιβέριος ταῦτα μαθὼν
ἐκ Σατορνίνου τοῦ τῆς Φουλβίας ἀνδρὸς ἐπισκήψει ταύτης, κελεύει πᾶν τὸ Ἰουδαϊκὸν τῆς
84 Ῥώμης ἀπελθεῖν. οἱ δὲ ὕπατοι τετρακισχιλίους ἄνδρας ἐξ αὐτῶν στρατολογήσαντες
ἔπεμψαν εἰς Σαρδὼ τὴν νῆσον, πλείστους δὲ ἐκόλασαν μὴ θέλοντας στρατεύεσθαι διὰ
φυλακὴν τῶν πατρίων νόμων. καὶ οἱ μὲν δὴ διὰ κακίαν τεσσάρων ἀνδρῶν ἠλαύνοντο τῆς
πόλεως.

85 Οὐκ ἀπήλλακτο δὲ θορύβου καὶ τὸ Σαμαρέων ἔθνος· συστρέφει γὰρ αὐτοὺς ἀνὴρ
ἐν ὀλίγῳ τὸ ψεῦδος τιθέμενος καθ' ἡδονὴν τῆς πληθύος τεχνάζων τὰ πάντα, κελεύων ἐπὶ
τὸ Γαριζὶν ὄρος αὐτῷ συνελθεῖν, ὃ ἁγνότατον αὐτοῖς ὀρῶν ὑπείληπται, ἰσχυρίζετό τε
παραγενομένοις δείξειν τὰ ἱερὰ σκεύη τῇδε κατορωρυγμένα Μωυσέως αὐτῶν ἐκεῖ ποιησα-
86 μένου κατάθεσιν. οἱ δὲ ἐν ὅπλοις τε ἦσαν πιθανὸν ἡγούμενοι τὸν λόγον, καὶ καθίσαντες
ἔν τινι κώμῃ παρελάμβανον τοὺς ἐπισυλλεγομένους ὡς μεγάλῳ πλήθει τὴν ἀνάβασιν εἰς
87 τὸ ὄρος ποιησόμενοι. Πιλάτος δὲ πέμψας ἱππεῖς καὶ ὁπλίτας ἐν τῇ κώμῃ τοὺς μὲν δι'
αὐτῶν ἔκτεινε, τοὺς δὲ εἰς φυγὴν τρέπεται καὶ πολλῶν ζωγρηθέντων τοὺς κορυφαιοτάτους
88 καὶ τοὺς ἐν τοῖς φυγοῦσι δυνατωτάτους ἔκτεινεν. ἡ δὲ τῶν Σαμαρέων βουλὴ παρὰ
Οὐιτέλλιον ὑπατικὸν ἴασιν ἄνδρα Συρίας ἡγεμονεύοντα καὶ Πιλάτου κατηγόρουν ἐπὶ τῇ
σφαγῇ τῶν ἀπολωλότων· οὐ γὰρ ἐπὶ ἀποστάσει Ῥωμαίων, ἀλλ' ἐπὶ διαφυγῇ τῆς Πιλάτου
89 ὕβρεως εἰς τὴν κώμην παραγίνεσθαι. καὶ Οὐιτέλιος Μάρκελλον τινὰ τῶν αὐτοῦ φίλων
ἐκπέμψας ἐπιμελητὴν τοῖς Ἰουδαίοις γενησόμενον Πιλᾶτον ἐκέλευεν ἐπὶ Ῥώμης ἀπιέναι
πρὸς ἃ κατηγοροῖεν Ἰουδαῖοι διδάξοντα τὸν αὐτοκράτορα. καὶ Πιλάτος δέκα ἔτεσι δια-
τρίψας ἐπὶ Ἰουδαίας εἰς Ῥώμην ἠπείγετο ταῖς Οὐιτελίου πειθόμενος ἐντολαῖς οὐκ ὂν
90 ἀντειπεῖν· πρὶν δ' ἐν τῇ Ῥώμῃ προσχεῖν αὐτὸν φθάνει Τιβέριος μεταστάς. Οὐιτέλιος δὲ
εἰς τὴν Ἰουδαίαν ἀφικόμενος ἐπὶ Ἱεροσολύμων ἀνῄει, καὶ ἦν γὰρ αὐτοῖς ἑορτή, πάσχα δὲ
καλεῖται. δεχθεὶς δὲ μεγαλοπρεπῶς τὰ τέλη τῶν ὠνουμένων καρπῶν ἀνίησιν εἰς τὸ πᾶν
τοῖς ταύτῃ κατοικοῦσι καὶ τὴν στολὴν τοῦ ἀρχιερέως καὶ τὸν πάντα αὐτοῦ κόσμον συνε-
χώρησεν ἐν τῷ ἱερῷ κείμενον ὑπὸ τοῖς ἱερεῦσιν ἔχειν τὴν ἐπιμέλειαν, καθότι καὶ πρότερον
91 ἦν αὐτοῖς. τότε δὲ ἐν τῇ Ἀντωνίᾳ, φρούριον δέ ἐστιν οὕτως λεγόμενον, ἡ ἀπόθεσις αὐτῆς
ἦν διὰ τοιαύτην αἰτίαν· τῶν ἱερέων τίς Ὑρκανός, πολλῶν δὲ ὄντων οἳ τοῦτο ἐκαλοῦντο
τὸ ὄνομα ὁ πρῶτος, ἐπεὶ πλησίον τῷ ἱερῷ βάριν κατασκευασάμενος ταύτῃ τὰ πολλὰ τὴν
δίαιταν εἶχε καὶ τὴν στολήν, φύλαξ γὰρ ἦν αὐτῆς διὰ τὸ καὶ μόνῳ ἐφεῖσθαι ἐνδεδύσθαι
92 αὐτήν, ταύτῃ εἶχεν ἀποκειμένην. καὶ οἵ τε υἱεῖς αὐτοῦ ταῦτ' ἔπρασσον καὶ τέκνα ἐκείνων.
Ἡρώδης δὲ τήν τε βάριν ἐν ἐπιτηδείῳ κειμένην κατασκευάσας πολυτελῶς Ἀντωνίαν καλεῖ
ὀνόματι Ἀντωνίου φίλος ὤν, καὶ τὴν στολὴν τῇδε καταλαβὼν κειμένην κατεῖχε, πιστεύων
93 οὐδὲν νεωτεριεῖν ἐπ' αὐτῷ τὸν λαὸν διὰ τάδε. ἔπρασσε δ' ὅμοια τῷ Ἡρώδῃ καὶ ὁ Ἀρχέλαος·
οὗ Ῥωμαῖοι παραδεξάμενοι τὴν ἀρχὴν ἐκράτουν τῆς στολῆς τοῦ ἀρχιερέως ἀποκειμένης ἐν

1 χρυσὸν] τὸ χρυσὸν Busb. — 3 βουλβίας Laur. — 7 πόλεως] huc usque collatus est Laur. — 8 ἀνήλλακτο Berol. — 11 παραγινομένοις Berol. — 17 ἰουτέλιον Busb. — 17 κατηγορῶν Busb. — 19 Οὐιτέλιος] Zonaras οὐιτέλιον Busb. Berol. — 20 ῥώμην Berol. — 21 διδάξαντα Berol. δικάζοντα Busb. — 29 τοῦτο] τόδε Iosephus. — 30 ταύτην Berol. — 31 ἐφεῖσθαι] συγκεχωρῆσθαι Iosephus. — 32 ταῦτα Berol. — 34 φίλης Berol.



Zonaras I p. 483 Bonn.

οἴκῳ λίθου ᾠκοδομημένῳ ὑπὸ σφραγῖδι τῶν τε ἱερέων καὶ τῶν γαζοφυλάκων τοῦ φρουράρχου
τὸ ἐφ' ἡμέραν ἑκάστην λύχνον ἀνάπτοντος. ἑπτὰ δὲ ἡμέραις πρὸ τῆς ἑορτῆς ἀπεδίδοτο 94
αὐτοῖς ὑπὸ τοῦ φρουράρχου, καὶ ἁγνισθείσῃ χρησάμενος ὁ ἀρχιερεὺς μετὰ μίαν τῆς ἑορτῆς
ἡμέραν ἀπετίθετο αὖθις ἧπερ ἔκειτο πρότερον. καὶ τοῦτο ἐπράσσετο ἐπὶ τρισὶν ἑορταῖς
ἑκάστου ἔτους καὶ τῇ νηστείᾳ. Οὐιτέλιος δὲ ἐπὶ τῷ ἡμετέρῳ πατρίῳ ποιεῖται τὴν στολήν, 95
ᾗ τε κείσοιτο μὴ πολυπραγμονεῖν ἐπισκήψας τῷ φρουράρχῳ καὶ ὁπότε δέοι χρῆσθαι. καὶ
ταῦτα πράξας καὶ τὸν ἀρχιερέα Ἰώσηπον τὸν καὶ Καϊάφαν ἀπαλλάξας τῆς ἱερωσύνης
Ἰωνάθην καθίστησιν Ἀνάνου τοῦ ἀρχιερέως υἱόν, ἐπ' Ἀντιοχείας τὲ αὖθις ποιεῖται τὴν
ὁδόν.

Πέμπει δὲ καὶ Τιβέριος ὡς Οὐιτέλιον γράμματα, κελεύων αὐτῷ πράσσειν φιλίαν 96
πρὸς Ἀρτάβανον τὸν Πάρθων βασιλέα· ἐφόβει γὰρ αὐτὸν ἐχθρὸς ὢν καὶ Ἀρμενίαν παρε-
σπασμένος μὴ ἐπὶ πλέον κακουργῇ· πιστεύειν δὲ τῇ φιλίᾳ μόνως ὁμήρων αὐτῷ διδομένων,
μάλιστα δὲ τοῦ Ἀρταβάνου υἱέος. αὐτὰ δὲ γράφων Τιβέριος πρὸς τὸν Οὐιτέλιον μεγάλων 97
δόσεσι χρημάτων πείθει καὶ τὸν Ἰβήρων καὶ τὸν Ἀλβανῶν βασιλέα πολεμεῖν Ἀρταβάνῳ
μὴ ἐνδοιάσαι. οἱ δὲ αὐτοὶ μὲν ἀντεῖχον, Ἀλβανοὶ δὲ δίοδον αὐτοῖς διδόντες διὰ τῆς
αὐτῶν καὶ τὰς θύρας τὰς Κασπίας ἀνοίξαντες ἐπάγουσι τῷ Ἀρταβάνῳ. καὶ ἥ τε Ἀρμενία 98
ἀφῄρητο αὖθις καὶ πλησθείσης πολέμων τῆς Παρθυαίων γῆς οἵ τε πρῶτοι τῶν τῇδε ἐκεί-
νοντο ἀνδρῶν καὶ τοῦ βασιλέως ὁ υἱὸς ἐκ τούτων τῶν μαχῶν ἔπεσε μετὰ πολλῶν στρατοῦ
μυριάδων. καὶ αὐτοῦ τὸν πατέρα Ἀρτάβανον Οὐιτέλιος πομπῇ χρημάτων εἴς τε συγ- 99
γενεῖς καὶ φίλους τοὺς ἐκείνου ἐμέλησε μὲν κτιννύειν διὰ τῶν τὰ δῶρα εἰληφότων, αἰσθό-
μενος δὲ τὴν ἐπιβουλὴν ὁ Ἀρτάβανος ἄφυκτον οὖσαν διὰ τὸ ὑπὸ πολλῶν καὶ τῶν πρώτων
ἀνδρῶν συντεθεῖσαν μὴ ἀνίεσθαι τοῦ ἐπὶ πέρας ἐλθεῖν, ἐπὶ τῶν ἄνω στρατιῶν ἔσωζεν 100
αὐτόν. καὶ πολλὴν μετὰ ταῦτα στρατιὰν ἀθροίσας Δακῶν τε καὶ Σακῶν καὶ πολεμήσας
τοὺς ἀνθεστηκότας κατέσχε τὴν ἀρχήν. ταῦτα ἀκούσας ὁ Τιβέριος ἠξίου φιλίαν αὐτῷ 101
γενέσθαι πρὸς τὸν Ἀρτάβανον, ἐπεὶ δὲ κἀκεῖνος προκληθεὶς ἀσμένως ἐδέχετο τὸν περὶ
αὐτοῦ λόγον, ἐπὶ τὸν Εὐφράτην παρῆσαν ὅ τε Ἀρτάβανος καὶ ὁ Οὐιτέλιος. καὶ ζεύξεως 102
τοῦ ποταμοῦ γενομένης κατὰ τὸ μεσαίτατον τῆς γεφύρας ἀλλήλους ὑπηντίαζον μετὰ φυλακῆς
ἑκάτερος τῆς περὶ αὐτόν. καὶ λόγων αὐτοῖς συμβατικῶν γενομένων Ἡρώδης ὁ τετράρχης
εἱστίασεν αὐτοὺς κατὰ μέσον τὸν πόρον. καὶ Ἀρτάβανος μετ' οὐ πολὺ πέμπει Τιβερίῳ 103
ὅμηρον Δαρεῖον τὸν υἱὸν μετὰ πολλῶν δώρων, ἐν οἷς καὶ ἄνδρα ἑπτάπηχυν τὸ μέγεθος
Ἰουδαῖον τὸ γένος, ὃς διὰ τὸ μέγεθος Γίγας ἐκαλεῖτο. ἐπὶ τούτοις Οὐιτέλιος μὲν ἐπ' 104
Ἀντιοχείας ᾔει, Ἀρτάβανος δὲ ἐπὶ τῆς Βαβυλῶνος. Ἡρώδης δὲ βουλόμενος δι' αὐτοῦ
πρώτου γενέσθαι πύστιν Καίσαρι τῶν ὁμήρων τῆς λήψεως ἐκπέμπει γραμματοφόρους τὰ
πάντα ἀκριβῶς γράψας. πρὸς Οὐιτελίου δὲ ἐπιπεμφθεισῶν ἐπιστολῶν καὶ τοῦ Καίσαρος 105

8 ἀντιόχου Busb. ἀντιο$^{χ}$ Berol. — τὲ] δὲ Busb. — 10 καὶ] ὁ Berol. — αὐτοῦ πράσσῃ Berol. — 11 ἐφόβει .... ὢν in ras. Berol. — 12 δὲ] τὲ Busb. — μόνον Berol. — 13 ταῦτα Iosephus. — 14 καὶ τὸν] τῶν Berol. — ἀλμανῶν Busb. — 15 ἀλμανοὶ Busb. — δὲ] δὲ τὴν Berol. — 16 τῷ] τὴν Berol. — 17 ἀφήρηται Berol. — 18 ὁ om. Berol. — στρατὸν Berol. — 19 χρημάτων πομπῇ tr. Busb. — 22 στρατιῶν] στρακῶν Busb. — 28 αὐτόν] αὐτὴν Busb. — 30 ὅμμηρον Berol. — 32 ἀντιο$^{χ}$ Berol. — τῆς] τοῦ Berol. — 33 πίστιν Berol. — 33 γραμμοτοφόρον Busb. — 34 οὐιτέλιον Berol. — δὲ πεμφθεισῶν Berol.

Zonaras I p. 488 Bonn.

ἀξιώτατον γεγενημένον, ὃς ἐκ πάνυ ἰδιώτου καὶ παρὰ πᾶσαν δόξαν τῶν εἰδότων αὐτὸν
ἐπὶ τοσόνδε ηὐξήθη δυνάμεως. εἴρηται μὲν οὖν μοι καὶ πρότερον περὶ αὐτῶν, λεχθή-
σεται δὲ καὶ νῦν ἀκριβῶς.
130 Ἡρώδῃ τῷ μεγάλῳ θυγατέρες ἐκ Μαριάμης τῆς Ἀλεξάνδρου καὶ Ἀλεξάνδρας τῆς
θυγατρὸς Ὑρκανοῦ γίνονται δύο, Σαλαμψιὼ μὲν ἡ ἑτέρα, ἣ γαμεῖται Φασαήλῳ τῷ αὐτῆς
ἀνεψιῳ Φασαήλου παιδὶ ὄντι τοῦ Ἡρώδου ἀδελφοῦ, Κύπρος δὲ Ἀντιπάτρῳ καὶ αὐτὴ
131 ἀνεψιῷ παιδὶ τῆς ἀδελφῆς Ἡρώδου Σαλώμης. καὶ Φασαήλῳ μὲν ἐκ Σαλαμψιοῦς γίνονται
πέντε παῖδες Ἀντίπατρος Ἡρώδης Ἀλέξανδρος, θυγάτηρ δὲ Ἀλεξάνδρα καὶ Κύπρος, ἣν
Ἀγρίππας γαμεῖ ὁ Ἀριστοβούλου. Ἀλεξάνδραν δὲ γαμεῖ Τίμιος Κύπριος ἀνὴρ τῶν ἀξιο-
132 λόγων, παρ' ᾧ δὴ καὶ ἄτεκνος τελευτᾷ. Κύπρῳ δ' ἐξ Ἀγρίππου ἄρσενες μὲν γίνονται δύο,
θυγατέρες δὲ τρεῖς Βερνίκη Μαριάμη Δρουσίλλα, Ἀγρίππας δὲ καὶ Δροῦσος τοῖς ἄρσεσιν
133 ὀνόματα, ὧν ὁ Δροῦσος πρὶν ἡβῆσαι τελευτᾷ. τῷ δὲ πατρὶ τούτων Ἀγρίππας ἐτρέφετο
μετὰ καὶ ἑτέρων ἀδελφῶν Ἡρώδης δὲ καὶ Ἀριστόβουλος καὶ ἀδελφὴ Ἡρωδιὰς Ἀριστοβούλου
καὶ οἵδε παῖδες τοῦ υἱέος Ἡρώδου τοῦ μεγάλου, Βερνίκη δὲ Κοστοβάρου καὶ Σαλώμης
134 παῖς τῆς Ἡρώδου ἀδελφῆς. τούτους Ἀριστόβουλος νηπίους λείπεται θνήσκων ὑπὸ τοῦ
πατρὸς σὺν Ἀλεξάνδρῳ τῷ ἀδελφῷ, ὡς ἤδη εἴρηται. ἡβήσαντες δὲ ἄγονται Ἡρώδης μὲν
οὗτος ὁ τοῦ Ἀγρίππου ἀδελφὸς Μαριάμην θυγατέρα Ὀλυμπιάδος τῆς Ἡρώδου τοῦ βασιλέως
θυγατρὸς καὶ Ἰωσήπου τοῦ Ἰωσήπου παιδός, ἀδελφὸς δ' ἦν οὗτος τοῦ βασιλέως Ἡρώδου· ἴσχει
135 δ' ἐξ αὐτῆς υἱὸν Ἀριστόβουλον. ὁ δὲ τρίτος τοῦ Ἀγρίππου ἀδελφὸς Ἀριστόβουλος γαμεῖ Ἰωτά-
πην Σαμψιγεράμου θυγατέρα τοῦ Ἐμεσῶν βασιλέως, θυγάτηρ δὲ αὐτοῖς γίνεται κωφή· ὄνομα
136 καὶ τῇδε Ἰωτάπη. καὶ τάδε μὲν τῶν ἀρσένων τέκνα. Ἡρωδιὰς δὲ αὐτῶν ἡ ἀδελφὴ
γήμεται Ἡρώδῃ Ἡρώδου τοῦ μεγάλου παιδὶ ἐκ Μαριάμης τῆς τοῦ Σίμωνος τοῦ ἀρχιερέως,
καὶ αὐτοῖς Σαλώμη γίνεται, μεθ' ἧς τὰς γονὰς Ἡρωδιὰς ἐπὶ συγχύσει φρονήσασα τῶν
πατρίων Ἡρώδῃ τῷ τετράρχῃ γαμεῖται τοῦ ἀνδρὸς ὁμοπατρίῳ ἀδελφῷ διαστᾶσα τοῦ πρό-
137 τερον γαμέτου ζῶντος. ἡ δὲ θυγάτηρ αὐτῆς Σαλώμη Φιλίππῳ γαμεῖται Ἡρώδου παιδὶ
τῷ τετράρχῃ τῆς Τραχωνίτιδος, καὶ ἄπαιδος τελευτήσαντος Ἀριστόβουλος αὐτὴν ἄγεται
Ἡρώδου παῖς τοῦ Ἀγρίππου ἀδελφοῦ. παῖδες δὲ ἐγένοντο αὐτοῖς τρεῖς Ἡρώδης Ἀγρίππας
138 καὶ Ἀριστόβουλος. τοῦτο μὲν δὴ τὸ Φασαήλου καὶ Σαμψιοῦς ἐστὶ γένος. Κύπρῳ δ' ἐξ
Ἀντιπάτρου θυγάτηρ γίνεται Κύπρος, καὶ αὐτὴν Ἀλεξᾶς ὁ Ἑλκίας γαμεῖ τοῦ Ἀλεξᾶ, καὶ
αὐτῆς θυγάτηρ ἦν Κύπρος. Ἡρώδης δὲ καὶ Ἀλέξανδρος, οὓς ἀδελφοὺς ἔφην Ἀντιπάτρου,
139 ἄτεκνοι τελευτῶσιν. Ἀλεξάνδρῳ δὲ τῷ Ἡρώδου παιδὶ τοῦ βασιλέως τῷ ὑπὸ τοῦ πατρὸς
ἀνῃρημένῳ Ἀλέξανδρος καὶ Τιγράνης ἐγεγόνεισαν υἱεῖς ἐκ τῆς Ἀρχελάου τοῦ Καππαδοκῶν
βασιλέως θυγατρός. καὶ Τιγράνης μὲν βασιλεύων Ἀρμενίας κατηγοριῶν αὐτοῦ ἐπὶ Ῥώμης
140 γενομένων ἄπαις τελευτᾷ, Ἀλεξάνδρῳ δὲ Τιγράνης ὁμώνυμος τῷ ἀδελφῷ γίνεται παῖς,
καὶ βασιλεὺς Ἀρμενίας ὑπὸ Νέρωνος ἐκπέμπεται υἱός τε Ἀλέξανδρος αὐτῷ γίνεται. γαμεῖ

1 ἰδιώτου] Iosephus ἰδιώτ$^{ης}$ Busb. ἰδιώτη, η ex corr. Berol. — 4 καὶ ἀλεξάνδρα Berol. — 6 παιδὶ] παιδ$^{ο}$ίων Berol. — ἀντιπάτρου Berol. — 13 δὲ] τε Iosephi codd. — 14 υἱέως Busb. — 15 τούτοις Berol. — 19 ἀγρίππα Berol. — 20 ἐμμεσῶν Busb. — θυγατέρα Berol. — 22 Ἡρώδῃ] ἡρώδ$^{η}$ου Berol. — 24 τοῦ πρότερον γαμέτου om. Iosephus. — προτέρου Busb. — 28 Σαλαμψιοῦς Iosephus — 29 γίνονται κύπρου Berol. — ὁ ἐλβίας Berol. — 32 ἐγεγόνησαν man. 1 Busb. — 34 δὲ om. Busb.



Zonaras I p. 487 Bonn.

δ' οὗτος Ἀντιόχου τοῦ Κομμαγηνῶν βασιλέως θυγατέρα Ἰωτάπην * τῆς ἐν Κιλικίᾳ
Οὐεσπασιανὸς αὐτὸν καθιστᾷ βασιλέα. καὶ τὸ μὲν Ἀλεξάνδρου γένος εὐθὺς ἅμα τῷ 141
φῦναι τὴν θεραπείαν ἐξέλιπε τῶν Ἰουδαίοις ἐπιχωρίων μεταταξάμενον πρὸς τὰ Ἕλλησι
πάτρια· ταῖς δὲ λοιπαῖς θυγατράσιν Ἡρώδου τοῦ βασιλέως ἀτέκνοις τελευτᾶν συνέπεσε.
τούτων δέ μοι τοῦ γένους προδεδηλωμένου διέξειμι λοιπόν, ὁπόσαι τε Ἀγρίππᾳ τύχαι 142
συνέλθοιεν, πῶς τε αὐτῶν διάδρασιν ποιησάμενος ἐπὶ μέγιστόν τε ἀξιώματος ἅμα προ-
κόψειε καὶ δυνάμεως.
Ἡρώδου τοῦ βασιλέως ὀλίγον πρὸ τῆς τελευτῆς Ἀγρίππας ἐν τῇ Ῥώμῃ διαιτώμενος 143
καὶ ὁμοτροφίας καὶ συνηθείας αὐτῷ πολλῆς γενομένης πρὸς Δροῦσον τὸν Τιβερίου τοῦ
αὐτοκράτορος υἱὸν καὶ Ἀντωνίᾳ τῇ Δρούσου τοῦ μεγάλου γυναικὶ εἰς φιλίαν ἀφίκετο
Βερνίκης τῆς μητρὸς τιμωμένης παρ' αὐτῆς καὶ * ἠξιωκυίας τὸν υἱόν. φύσει δὲ μέγας ὢν 144
Ἀγρίππας καὶ δωρεῖσθαι πολυτελὴς ζώσης μὲν τῆς μητρὸς οὐκ ἐξέφαινε τῆς ψυχῆς τὸ
θέλον διαδιδράσκων αὐτῆς τὴν ἐπὶ τοιούτοις ὀργήν, ἐπεὶ δ' ἡ Βερνίκη τελευτᾷ, γενό- 145
μενος ἐπὶ τῷ αὐτοῦ τρόπῳ, τὰ μὲν εἰς πολυτέλειαν τῆς καθ' ἡμέραν διαίτης, τὰ δ' εἰς τὸ
μὴ μέτρῳ τῶν δωρεῶν προϊέμενον ἀνάλωσε τῶν χρημάτων, τὰ πλεῖστα δ' εἰς τοὺς Καί-
σαρος ἀπελευθέρους. πενία τε ἐν ὀλίγῳ περὶ αὐτὸν ἦν. καὶ τοῦτο ἦν κώλυμα τῆς ἐν 146
Ῥώμῃ διαίτης, καὶ ὁ Τιβέριος τοῖς φίλοις τοῦ υἱέος τετελευτηκότος ἀπειπὼν φοιτᾶν εἰς
ὄψιν αὐτῷ, διὰ τὸ ἀνερεθίζεσθαι πρὸς λύπην μνημονεύων τοῦ παιδὸς θεωρίᾳ τῇ ἐκείνων.
διὰ μὲν δὴ ταῦτα ἐπὶ τῆς Ἰουδαίας ᾤχετο κακοπραγῶν καὶ τεταπεινωμένος ὀλέθρῳ τε ὧν 147
εἶχε χρημάτων καὶ ἀπορίᾳ τοῦ ἐκτίσαι τὰ χρέα τοῖς δανεισταῖς πολλοῖς τε οὖσι καὶ
ἀλεωρὴν οὐδ' ἡντιναοῦν ἐνδιδοῦσιν, ὥστε ἀπορίᾳ τῶν ποιητέων καὶ αἰσχύνῃ τῇ ἐπ' αὐτοῖς
ὑποχωρήσας εἴς τινα πύργον ἐν Μαλάθοις τῆς Ἰδουμαίας ἐν περινοίᾳ τοῦ μεταστῆσαι
αὐτὸν ἦν. αἰσθάνεται δὲ αὐτοῦ τὴν διάνοιαν Κύπρος ἡ γυνὴ παντοία τε ἦν ἀπείργουσα 148
τῶν ἐπὶ τοιούτοις βουλευμάτων. διαπέμπεται δὲ καὶ ὡς τὴν ἀδελφὴν αὐτοῦ Ἡρωδιάδα
Ἡρώδῃ τῷ τετράρχῃ συνοικοῦσαν δηλοῦσα τό τε τοῦ Ἀγρίππου βούλευμα καὶ τὴν ἀνάγκην,
ἣ ἐπ' αὐτὸ ἐξῆγεν, ἐκέλευέ τε συγγενῆ οὖσαν βοηθεῖν καὶ τὸν ἄνδρα πρὸς τοῦτο παρα- 149
σκευάζειν. οἱ δὲ μεταπέμψαντες αὐτὸν οἰκητήριον ἀπέδειξαν Τιβεριάδα καί τι καὶ ἀργύριον
ὥρισαν εἰς τὴν δίαιταν ἀγορανομίᾳ τε τῆς Τιβεριάδος ἐτίμησαν. οὐ μὴν ἐπὶ πλεῖον 150
Ἡρώδης ἐνέμεινε τοῖς δεδογμένοις, καίτοι οὐδ' ὡς ἀρκοῦντα ἦν· ἐν γὰρ Τύρῳ παρὰ
συνουσίαν ὑπὸ οἴνου γενομένων αὐτοῖς λοιδοριῶν, ἀνεκτὸν οὐχ ἡγησάμενος Ἀγρίππας τοῦ
Ἡρώδου ἐπονειδίσαντος εἰς ἀπορίαν καὶ τροφῆς ἀναγκαίας μετάδοσιν, ὡς Φλάκκον τὸν
ὑπατικὸν εἴσεισι φίλον ἐπὶ Ῥώμης τὰ μάλιστα αὐτῷ γεγονότα πρότερον· Συρίαν δὲ ἐν τῷ
τότε διεῖπε. καὶ δεξαμένου Φλάκκου παρὰ τούτῳ διῆγε προκατειληφότος ἐκεῖ καὶ Ἀριστο- 151
βούλου, ὃς ἀδελφὸς ὢν Ἀγρίππου καὶ διάφορος ἦν. οὐ μὴν ἐβλάπτοντο ἔχθρᾳ τῇ ἀλλήλων,
ὥστε μὴ φιλίᾳ τοῦ ὑπατικοῦ τὰ εἰκότα τιμὴν φέρεσθαι. οὐ μὴν ὅ γε Ἀριστόβουλος ἀνίει 152

1 post Ἰωτάπην vacuum relictum spatium circiter 6 litt. in Busb., 2 litt. in Berol. — 2 ἀλεξάνδρῳ Busb. — 5 προδεδηλωμένων Berol. — 6 αὐτῶν] αὐτὸν Busb. — 8 i. marg. ή' Busb. — ὀλόγον Berol. — 11 post καὶ lacuna circ. 7 litt. in Busb., in Berol. lacuna non extat. — 13 διαδιδράσκον Busb. — 17 υἱέως Busb. — 22 Ἰδουμαίας] ἰουδαίας Berol. — 23 τὴν] τῶν Berol. — 25 ἀγρίππα$^{ου}$ Berol. — 31 φαλάκκον Berol. — 32 δὲ] δὲ καὶ Busb. — 34 ὢν] μ' ὂν Berol. — ἀγρίππα$^{ου}$ Berol.

Zonaras I p. 488 Bonn.

τί τοῦ πρὸς τὸν Ἀγρίππαν δυσμενοῦς μέχρι καὶ εἰς ἔχθραν αὐτὸν Φλάκκῳ καθίστησιν,
153 αἰτίαν τοιαύτην ἐπὶ τῇ δυσμενείᾳ παραλαβών. Δαμασκηνοὶ Σιδωνίοις περὶ ὅρων διάφοροι
καθεστῶτες, μέλλοντος Φλάκκου περὶ τούτων ἀκροάσασθαι μαθόντες τὸν Ἀγρίππαν ὡς
παρ' αὐτῷ μέγα δύναται ἠξίουν μερίδος τῆς αὐτῶν γενέσθαι, ἀργύριόν τε πλεῖστον ὡμο-
154 λόγητο αὐτῷ. καὶ ὁ μὲν πάντα ἐπὶ τῇ βοηθείᾳ τῶν Δαμασκηνῶν ὥρμητο πράσσειν.
Ἀριστόβουλος δέ, οὐ γὰρ ἐλάνθανεν αὐτὸν ἡ ὁμολογία τῶν χρημάτων, καταγορεύει πρὸς
τὸν Φλάκκον, καὶ βασανιζομένου τοῦ πράγματος ἐπεὶ φανερὰ ἦν, ἐξωθεῖ τὸν Ἀγρίππαν
155 φιλίας τῆς πρὸς αὐτόν. ὁ δὲ εἰς ὑστάτην ἀπορίαν περιωσμένος εἰς Πτολεμαΐδα παρῆν,
καὶ κατὰ τὸ ἄπορον τῆς ἀλλαχόθεν διαίτης γνώμην ἐποιεῖτο εἰς Ἰταλίαν πλεῖν,
εἰργόμενος δὲ χρημάτων ἀπορίᾳ ἠξίου Μαρσύαν ὄντα αὐτοῦ ἀπελεύθερον ποριστὴν
156 γενέσθαι τῶν ἐπὶ τοιούτοις δαπανῶν δανεισάμενον παρά τινων. καὶ ὁ Μαρσύας Πέτρον
κελεύει Βερνίκης ὄντα ἀπελεύθερον τῆς Ἀγρίππου μητρός, αὐτῷ παρασχεῖν ἐπὶ γράμματι
157 καὶ πίστει τῇ αὐτοῦ. ὁ δέ, ἐπεκάλει γὰρ τῷ Ἀγρίππᾳ χρημάτων τινῶν ἀποστέρησιν,
ἀναγκάζει τὸν Μαρσύαν δύο μυριάδων Ἀτθίδων συμβόλαιον ποιησάμενον πεντακοσίαις
καὶ χιλίαις ἔλασσον λαμβάνειν. συνεχώρει δ' ἐκεῖνος κατὰ τὸ μὴ εἶναι ἄλλως ποιεῖν.
158 εἰλημμένου δὲ τοῦ χρήματος τούτου Ἀγρίππας εἰς Ἀνθηδόνα παραγενόμενος λαβὼν ναῦν
ἐν ἀναγωγαῖς ἦν. καὶ γνοὺς Ἑρέννιος Καπίτων ὁ τῆς Ἰαμνείας ἐπίτροπος πέμπει στρα-
τιώτας, οἳ εἰσπράξονται αὐτὸν ἀργυρίου τριάκοντα μυριάδας θησαυρῷ τῷ Καίσαρος ὀφει-
159 λομένας ἐπὶ Ῥώμης ὑπ' αὐτοῦ, ἀνάγκας τὲ ἐπετίθεσαν τοῦ μένειν. καὶ τότε μὲν πείθεσθαι
τοῖς κεκελευσμένοις προσποιητὸς ἦν, νυκτός δ' ἐπιγενομένης κόψας τὰ ἀπόγεια ᾤχετο ἐπ'
Ἀλεξανδρείας πλέων. ἔνθα Ἀλεξάνδρου δεῖται τοῦ ἀλαβάρχου μυριάδας εἴκοσι δάνειον
αὐτῷ δοῦναι. ὁ δ' ἐκείνῳ μὲν οὐκ ἂν ἔφη παρασχεῖν, Κύπρῳ δὲ οὐκ ἠρνεῖτο τήν τε
160 φιλανδρίαν αὐτῆς τεθηπὼς καὶ τὴν λοιπὴν ἀρετήν. ἡ δὲ ὑπισχνεῖται, καὶ ὁ Ἀλέξανδρος
πέντε τάλαντα αὐτοῖς ἐπὶ τῇ Ἀλεξανδρείᾳ δοὺς τὸ λοιπὸν ἐν Δικαιαρχίᾳ γενόμενος
παρέξειν ἐπηγγέλλετο, δεδιὼς τοῦ Ἀγρίππου τὸ εἰς τὰ ἀναλώματα ἕτοιμον. καὶ Κύπρος
μὲν ἀπαλλάξασα τὸν ἄνδρα ἐπὶ τῆς Ἰταλίας πλευσούμενον αὐτὴ μετὰ τῶν τέκνων ἐπὶ
Ἰουδαίας ἀνέζευξεν.
161 Ἀγρίππας δὲ εἰς Ποτιόλους παραβαλὼν ἐπιστολὴν ὡς Τιβέριον Καίσαρα γράφει
διαιτώμενον ἐν Καπραίαις, παρουσίαν τὲ τὴν αὐτοῦ δηλῶν καὶ ἀξιῶν ἐφεῖναι αὐτῷ εἰς
162 Καπραίας παραβαλεῖν. Τιβέριος δὲ τά τε ἄλλα αὐτῷ γράφει φιλανθρωπίᾳ χρώμενος, καὶ
χαίρειν ἀποσημαίνων ἐπὶ τῷ σῶον ἐπανήκειν εἰς τὰς Καπραίας, ἐπεί δ' ἀφικνεῖται μηδὲν
163 ὑφελὼν τοῦ ἐν τοῖς γράμμασι προθύμου ἠσπάζετό τε καὶ ἐξένιζε. τῇ δ' ἑξῆς Καίσαρι
γραμμάτων παρὰ Ἑρρενίου Καπίτωνος ἀφικομένων, ὅτι Ἀγρίππας μυριάδας τριάκοντα
δάνεισμα ποιησάμενος καὶ πρὸς τὰς καταβολὰς ἐκλιπὼν χρόνον τὸν συγκείμενον ἀπαιτή-
164 σεως γινομένης οἴχοιτο φυγὰς ἐκ τῶν ὑπ' αὐτῷ χωρίων, ταύτην ἀναγνοὺς τὴν ἐπιστολὴν

1 ἀγρίπαν Busb. — 2 διάφορα Berol. — 6 κατηγορεύει man· 1 Busb. — 7 τὸν om. Berol. — 12 ἀγρίππα$^{ου}$ Berol. — 14 τὸν] τὴν Berol. — 16 ναῦς Berol. — 17 ἑρρένιος Berol. — 18 εἰσπράξειντai Berol. — 19 ἐπιτίθεσαν Berol. — 21 ἀβαλάρχου Busb. — 23 τεθηπὼς] καταπεπληγμένος Iosephus. — 29 καπραίαις, αἱ ex ἑ corr. Berol. — 31 τῷ] τὸ Berol. — ἀφικνεῖτο Berol. — 32 ἠσπάζετέ το καὶ Busb. — 35 τὴν] τὴν δ' Berol.



Zonaras I p. 489 Bonn.

περιαλγεῖ τὲ Καῖσαρ καὶ διάκλεισιν γενέσθαι τῷ Ἀγρίππᾳ κελεύει εἰσόδων τῶν πρὸς αὐτὸν
ἄχρι δὴ καταβαλεῖ τὸ χρέος. ὁ δὲ Ἀντωνίας δεῖται τῆς Γερμανικοῦ μητρὸς καὶ Κλαυδίου
τοῦ ὕστερον γενομένου Καίσαρος, δάνεισμα αὐτῷ δοθῆναι τὰς τριάκοντα μυριάδας, ἵνα
φιλίας μὴ ἁμάρτοι τῆς πρὸς Τιβέριον. ἡ δὲ Βερνίκης τὲ μνήμῃ τῆς μητρὸς αὐτοῦ, σφόδρα 165
γὰρ ἀλλήλαις ἐχρῶντο αἵδε αἱ γυναῖκες, καὶ αὐτῷ ὁμοτροφίας πρὸς τοὺς ἀμφὶ Κλαύδιον
γενομένης, δίδωσι τὸ ἀργύριον, καὶ αὐτῷ ἀποτίσαντι τὸ χρέος ἀνεπικώλυτος ἦν ἡ φιλία
τοῦ Τιβερίου. αὖθις τὲ αὐτῷ Τιβέριος συνίστησιν υἱωνὸν τὸν αὐτοῦ κελεύων τὰ πάντα 166
αὐτῷ ταῖς ἐξόδοις παρατυγχάνειν. Ἀγρίππας δὲ φιλίᾳ δεχθεὶς ὑπὸ τῆς Ἀντωνίας κατὰ
θεραπείαν τρέπεται τὴν Γαΐου υἱωνοῦ τὲ ὄντος αὐτῆς καὶ εὐνοίᾳ τοῦ πατρὸς εἰς τὰ
πρῶτα τιμωμένου. καὶ δή τις ἦν Σαμαρεὺς γένος, Καίσαρος δὲ ἀπελεύθερος· παρὰ τούτου 167
δάνεισμα μυριάδας ἑκατὸν εὑράμενος τῇ τε Ἀντωνίᾳ καταβάλλει τὸ ὀφειληθὲν χρέος καὶ
τῶν λοιπῶν τῷ ἀναλώματι θεραπεύων τὸν Γάϊον μειζόνως ἐν ἀξιώματι ἦν παρ' αὐτῷ.
προϊούσης δὲ ἐπὶ μέγα τῷ Ἀγρίππᾳ τῆς πρὸς Γάϊον φιλίας, αἰωρουμένοις ποτὲ λόγος περὶ 168
τοῦ Τιβερίου γίνεται, καὶ τοῦ Ἀγρίππου κατ' εὐχὰς τραπομένου, μόνῳ δ' ἤστην, ᾗ τάχος
Τιβέριον ὑπεκστάντα τῆς ἀρχῆς Γαΐῳ παραχωρεῖν ἀξιωτέρῳ τὰ πάντα ὄντι, τούτων
ἀκροᾶται τῶν λόγων Εὔτυχος, Ἀγρίππου δ' ἦν ἀπελεύθερος ἡνίοχος, καὶ παραχρῆμα μὲν
σιγῇ παρεδίδου. κλοπῆς δὲ ἱματίων αὐτῷ τοῦ Ἀγρίππου ἐπικαλουμένης, ἀκριβῶς δὲ ἐκε- 169
κλόφει, φυγὼν καὶ ληφθεὶς ἀγωγῆς αὐτοῦ ἐπὶ Πίσωνα γενομένης, ὃς ἦν φύλαξ τῆς πόλεως,
ἐρομένου τὴν αἰτίαν τῆς φυγῆς Καίσαρι φησὶν ἀπορρήτους ἔχειν λόγους εἰπεῖν ἐπ' ἀσφα-
λείᾳ τῆς σωτηρίας αὐτοῦ φέροντας, ὥστε δήσας αὐτὸν ἔστελλεν εἰς τὰς Καπραίας. καὶ
Τιβέριος τῷ αὐτοῦ τρόπῳ χρώμενος εἶχεν αὐτὸν δέσμιον, μελλητὴς εἰ καί τις ἕτερος βασι-
λέων ἢ τυράννων γενόμενος. οὔτε γὰρ πρεσβειῶν ὑποδοχὰς ἐκ τοῦ ὀξέος ἐποιεῖτο ἡγεμόσι 170
τὲ καὶ ἐπιτρόποις παρ' αὐτοῦ σταλεῖσιν οὐδεμία ἦν διαδοχή, ὁπότε μὴ φθαῖεν τετε-
λευτηκότες· ὅθεν καὶ δεσμωτῶν ἀκροάσεως περίοπτος ἦν. ὥστε καὶ τῶν φίλων ἐρομένων 171
τὴν αἰτίαν τοῦ ἐπὶ τοιούτοις ὁλκῇ χρᾶσθαι, ἔφη τὰς μὲν πρεσβείας τρίβειν, ὅπως μὴ
ἀπαλλαγῆς αὐταῖς ἐκ τοῦ ὀξέος γενομένης ἕτεροι πρέσβεις ἐπιχειροτονηθέντες ἐπανίοιεν
ὄχλος τὲ αὐτῷ γίνοιτο ἐπιδοχαῖς αὐτῶν καὶ πομπαῖς. τὰς δ' ἀρχὰς συγχωρεῖν τοῖς ἅπαξ 172
ὑπ' αὐτοῦ κατασταᾶσιν εἰς ταύτας προμηθείᾳ τῶν ὑποτελῶν· φύσει μὲν γὰρ εἶναι πᾶσαν
ἡγεμονίαν οἰκείαν τοῦ πλεονεκτεῖν· τὰς δὲ μὴ παγίους, ἀλλ' εἰς ὀλίγον καὶ ἄδηλον ὁπότε
ἀφαιρεθεῖεν καὶ μειζόνως ἐξοτρύνειν ἐπὶ κλοπαῖς τοὺς ἔχοντας. εἰ μὲν οὖν ἐφεστήκασιν 173
εἰς πλέον, αὐτοὺς ἄδην τῶν κλοπῶν ἕξειν ὑπὸ τοῦ πολλοῦ τῶν κεκερδημένων ἀμβλυτέρως
τὸ λοιπὸν αὐταῖς χρωμένους, διαδοχῆς δὲ παραγενομένης ἐκ τοῦ ὀξέος μηδαμῶς ἂν ἀρκέσαι
τοὺς ἆθλα τοῖς ἄρχουσι προκειμένους, ἀναστροφῆς αὐτοῖς οὐ διδομένης καιρῶν, ἐν οἷς
πλήρεις οἱ προειληφότες γενόμενοι ὑποδιδοῖεν σπουδῆς τῆς ἐπὶ τὸ λαμβάνειν, διὰ τὸ πρὶν
ἐν καιρῷ γενέσθαι μεταστῆναι. παράδειγμά τε αὐτοῖς φησι· τραυματίᾳ τινὶ κειμένῳ μυῖαι 174
κατὰ πλῆθος τὰς ὠτειλὰς περιέστασαν. καί τις τῶν παρατυχόντων οἰκτείρας αὐτὸν οἷός
τε ἦν ἀποσοβεῖν αὐτὰς παραστάς. καὶ δεομένου παύσασθαι τῶν ἐπὶ τοιοῖσδε ἤρετο τὴν 175
αἰτίαν. καὶ ὃς „μειζόνως ἂν ἀδικοίης με ταύτας ἀπαγαγών· ταῖς μὲν γὰρ ἤδη πληρω-

3 αὐτῶν Berol. — 5 αὐτῷ] αὐτοι Berol. — 13 προϊούσα Berol. — 24 καὶ (post ὅθεν) om. Berol. — 32 ὀξέως$^{ο}$ Berol. — 33 προσκειμένους Busb. — 34 πλήρεις om. Berol. — 36 παραδείγματά τε Busb.

Zonaras I p. 490 Bonn.

θείσαις τοῦ αἵματος οὐκέθ' ὁμοίως ἔπειξις ὄχλον μοι παρασχεῖν, ἀλλά πη καὶ ἀνίσχουσιν,
176 αἱ δ' ἀκραιφνεῖς τῷ κατ' αὐτὰς λιμῷ συνελθοῦσαι καὶ ὀλέθρῳ παραδιδοῖεν.“ διὰ τάδε
οὖν καὶ αὐτὸς ὑπὸ πολλῶν τῶν κλοπῶν διεφθαρμένοις τοῖς ὑποτελέσι προμηθὴς εἶναι μὴ
συνεχεῖς ἐξαποστέλλειν τοὺς ἡγησομένους, οἳ ἐν τρόπῳ μυιῶν ἐκπολεμῶεν αὐτούς, φύσει
πρὸς κέρδος ὀρωρεγμένοις σύμμαχον παραλαμβάνοντες τὴν ἐλπίδα τοῦ ταχέως ἀφαιρεθη-
177 σομένου τὴν ἐνθένδε ἡδονήν. μαρτυρήσει δέ μου τῷ λόγῳ τῆς ἐπὶ τοιούτοις φύσεως
Τιβερίου τὸ ἔργον αὐτό· ἔτη γὰρ δύο πρὸς τοῖς εἴκοσιν αὐτοκράτωρ γενόμενος δύο τοὺς
178 πάντας Ἰουδαίοις ἐξέπεμψε διοικήσοντας τὸ ἔθνος, Γράτον τὲ καὶ Πιλᾶτον. καὶ οὐκ ἐπὶ
μὲν Ἰουδαίων τοιοῦτος ἦν, ἑτεροῖος δὲ ἐπὶ τῶν λοιπῶν ὑπηκόων. ἀλλὰ καὶ τῶν δεσμωτῶν
τὴν ἀναβολὴν τῆς ἀκροάσεως ἀπεσήμαινεν ὑπὲρ τοῦ δικαιωθεῖσι μὲν θανάτῳ κούφισιν
γενέσθαι τῶν ἐνεστηκότων κακῶν, τριβομένοις δὲ ἀχθηδόνι τῇ ἐπικειμένῃ μείζονα προσ-
179 ρέπειν τὴν δυστυχίαν. διὰ μὲν δὴ τάδε καὶ ὁ Εὔτυχος ἀκροάσεώς τε οὐκ ἐτύγχανε καὶ
δεσμοῖς ἐνείχετο. χρόνου δὲ ἐγγενομένου Τιβεριός τε ἐκ τῶν Καπραίων εἰς Τουσκουλανὸν
παραγίνεται ὅσον ἀπὸ σταδίων ἑκατὸν τῆς Ῥώμης, καὶ ὁ Ἀγρίππας ἀξιοῖ τὴν Ἀντωνίαν
διαπράξασθαι τὸ γενέσθαι τῷ Εὐτύχῳ τὴν ἀκρόασιν ἐφ' οἷς τὴν κατηγορίαν ποιοῖτο
180 αὐτοῦ. τιμία δὲ ἦν Ἀντωνία Τιβερίῳ εἰς τὰ πάντα συγγενείας τὲ ἀξιώματι, Δρούσου γὰρ
ἦν ἀδελφοῦ αὐτοῦ γυνή, καὶ ἀρετῇ τοῦ σώφρονος· νέα γὰρ χηρεύειν παρέμεινε γάμῳ τὲ
ἀπεῖπε τῷ πρὸς ἕτερον καίπερ τοῦ Σεβαστοῦ κελεύοντος τινὶ γαμεῖσθαι, καὶ λοιδοριῶν
181 ἀπηλλαγμένον διεσώσατο αὐτῆς τὸν βίον. ἰδίᾳ τε εὐεργέτις ἦν εἰς τὰ μέγιστα τοῖ
Τιβερίου· ἐπιβουλῆς γὰρ μεγίστης συστάσης ἐπ' αὐτὸν ὑπὸ Σηϊανοῦ φίλου τὲ ἀνδρὸς καὶ
δύναμιν ἐν τῷ τότε μεγίστην ἔχοντος διὰ τὸ τῶν στρατευμάτων εἶναι τὴν ἡγεμονίαν αὐτῷ,
καὶ τῆς τε βουλῆς οἱ πολλοὶ καὶ τῶν ἀπελευθέρων προσέθεντο καὶ τὸ στρατιωτικὸν
διέφθαρτο, προὔκοπτέ τε ἡ βουλὴ ἐπὶ μέγα, κἂν ἐπέπρακτο Σηϊανῷ τὸ ἔργον μὴ τῆς
182 Ἀντωνίας τόλμῃ χρησαμένης σοφωτέρᾳ τῆς Σηϊανοῦ κακουργίας. ἐπεὶ γὰρ μανθάνει τὰ
ἐπὶ τῷ Τιβερίῳ συντιθέμενα, γράφει πρὸς αὐτὸν τὰ πάντα ἀκριβῶς. ὁ δὲ μαθὼν τόν
τε Σηϊανὸν κτείνει καὶ τοὺς συνεπιβούλους, τήν τε Ἀντωνίαν καὶ πρὶν ἀξιολόγως ἄγων
183 τιμιωτέραν τὲ ὑπελάμβανε κἀπὶ τοῖς πᾶσι πιθανήν. ὑπὸ δὴ ταύτης τῆς Ἀντωνίας ὁ
Τιβέριος παρακαλούμενος ἐξετάσαι τὸν Εὔτυχον, „ἀλλ' εἰ μὲν καταψεύσειε, φησὶν ὅτι
Ἀγρίππου τὰ εἰρημένα Εὔτυχος, ἀρκοῦσαν κομίζεται τιμωρίαν, ἣν ἐπιτετίμηκα αὐτός· εἰ
δὲ βασανιζομένου ἀληθῆ φανείη τὰ εἰρημένα, μήπου κολάζειν ποθῶν τὸν ἀπελεύθερον
184 ἐφ' ἑαυτὸν μᾶλλον καλοίη τὴν δίκην“. καὶ ὁ Ἀγρίππας ταῦτα φαμένης πρὸς αὐτὸν
Ἀντωνίας πολλῷ μᾶλλον ἐπέκειτο ἀξιῶν ἐξέτασιν γενέσθαι τοῦ πράγματος, καὶ ἡ Ἀντωνία
185 καιρὸν παραλαβοῦσα τοιοῦτον· αἰωρεῖτο μὲν Τιβέριος ἐπὶ φορείου κείμενος, προϊόντων
Γαΐου τὲ τοῦ ἐκείνης υἱωνοῦ καὶ Ἀγρίππα, ἀπ' ἀρίστου δ' ἦσαν, ἡ δὲ παραπεριπατοῦσα
186 τῷ φορείῳ παρεκάλει καλεῖσθαί τε τὸν Εὔτυχον καὶ ἐξετάζεσθαι. ὁ δέ „ἀλλ' ἴστωσαν,
εἶπεν, Ἀντωνία, οἱ θεοί, ὅτι μὴ ἐμαυτοῦ γνώμῃ, ἀνάγκῃ δὲ τῆς σῆς παρακλήσεως πράξω

2 παραδοῖεν Busb. — 4 τοὺς ἡτησομένους Berol. — ἐκπολεμῶν ἐν αὐτοὺς Berol. — 8 εἴκοσι Berol. — 10 ὑπεσήμ[αι]ενεν Berol. — 12 δὴ] ἰδὴ Berol. — 13 εἰς τοὺς κουλανὸν Berol. — 15 ποιεῖτο Berol. — 19 ἰδίᾳ .... 20 Τιβερίου om. Busb. — 20 συστάσης om. Berol. — 24 Ἀντωνίας] αὐτῶν ἴας Berol. — 28 ὅτι] Berol. ὀπὶ Busb. — 34 δ'] δὲ Busb.



Zonaras I p. 491 Bonn.

τὰ πραχθησόμενα.“ ταῦτ' εἰπὼν κελεύει Μάκρωνα, ὃς Σηϊανοῦ διάδοχος ἦν, τὸν Εὔτυχον
ἀγαγεῖν. καὶ ὃς παρῆν. Τιβέριος δ' αὐτὸν ἤρετο, τί καὶ ἔχοι λέγειν κατ' ἀνδρὸς ἐλευθερίαν
αὐτῷ παρεσχηκότος. ὁ δὲ φησί, „δέσποτα, αἰωροῦντο μὲν ἐφ' ἁμάξης Γάϊός τε οὗτος 187
καὶ Ἀγρίππας σὺν αὐτῷ καὶ σφῶν ἑζόμην παρὰ τοῖν ποδοῖν, λόγων δὲ πολλῶν ἀνακυκλου-
μένων Ἀγρίππας φησί πρὸς Γάϊον· εἰ γὰρ ἀφίκοιτό ποτε ἡμέρα, ᾗ μεταστὰς ὁ γέρων οὗτος
χειροτονοίη σε ἡγεμόνα τῆς οἰκουμένης· οὐδὲν γὰρ ἡμῖν Τιβέριος ὁ υἱωνὸς αὐτοῦ γένοιτ'
ἂν ἐμποδὼν ὑπὸ σοῦ τελευτῶν, καὶ ἥ τε οἰκουμένη γένοιτ' ἂν μακαρία κἀγὼ
πρὸ αὐτῆς.“ Τιβέριος δὲ πιστὰ ἡγησάμενος τὰ εἰρημένα καὶ ἅμα μῆνιν ἀναφέρων 188
τῷ Ἀγρίππᾳ παλαιάν, διότι κελεύσαντος αὐτοῦ θεραπεύειν υἱωνὸν τὲ αὐτοῦ καὶ
Δρούσου παῖδα ὄντα, Ἀγρίππας οὐ τιμίως ἦγε παρακρουσάμενος τὰς ἐντολὰς καὶ πᾶς ὡς
τὸν Γάϊον μετεκάθιζε, „τοῦτον μέν, φησὶ Μάκρωνι, δῆσον.“ Μάκρων δὲ τὸ μὲν οὐ 189
σαφῶς ὅντινα προστάξειεν ἐπιστάμενος, τὸ δὲ οὐκ ἂν προσδοκῶν περὶ τοῦ Ἀγρίππα
προστάξαί τι τοιοῦτον, ἐπανεῖχεν ἀκριβωσόμενος τὰ εἰρημένα. ἐπεί δ' ὁ Καίσαρ περιο- 190
δεύσας τὸν ἱππόδρομον λαμβάνει τὸν Ἀγρίππαν ἑστηκότα, „καὶ μὴν δή, φησί, Μάκρων,
τοῦτον εἶπον δεθῆναι.“ τοῦ δὲ ἐπανερομένου ὅντινα, „Ἀγρίππαν“ εἶπε. καὶ ὁ Ἀγρίππας 191
τρέπεται μὲν κατὰ δεήσεις, τοῦ τε παιδὸς ᾧ συνετέθραπτο μνημονεύων καὶ τοῦ Τιβερίου
τῆς ἐκτροφῆς, οὐ μὴν ἤνυε γέ τι, ἀλλ' ἦγον αὐτὸν ἐν πορφυρίσι δέσμιον. καὶ καῦμα τὲ 192
γὰρ σφοδρὸν ἦν καὶ ὑπὸ οἴνου τοῦ ἐπὶ σιτίοις μὴ πολλοῦ γεγονότος δίψος ἐξέκαιεν αὐτόν,
καί τι καὶ ἀγωνία καὶ τὸ παρ' ἀξίαν προσελάμβανε· θεασάμενος οὖν τινὰ τῶν Γαΐου
παίδων Θαυμαστὸν ὄνομα ὕδωρ ἐν ἀγγείῳ κομίζοντα ᾔτησε πιεῖν. καὶ ὀρέξαντος προθύ- 193
μως πιών, „ἀλλ' εἴπερ ἐπ' ἀγαθοῖς, φησίν, ὦ παῖ, τὰ τῆσδέ σου τῆς διακονίας γέγονε,
διαφυγῆς μοι γενομένης τῶνδε τῶν δεσμῶν οὐκ ἂν βραδύνοιμι ἐλευθερίαν εἰσπρασσόμενός
σοι παρὰ Γαΐου, ὃς καὶ δεσμώτῃ μοι διακονεῖσθαι οὐκ ἐνέλιπες.“ καὶ οὐκ ἐψεύσατο· ἐν 194
ὑστέρῳ γὰρ βασιλεύσας τὸν Θαυμαστὸν ἐλεύθερόν τε ἀφῆκε παρὰ Γαΐου Καίσαρος γεγο-
νότος λαβὼν καὶ τῆς οὐσίας ἐπίτροπον καθίστησι, τελευτῶν τε τῷ υἱῷ Ἀγρίππᾳ καὶ
Βερνίκῃ τῇ θυγατρὶ ἐπὶ τοῖς ὁμοίοις διακονησόμενον κατέλιπεν.
Ἀγρίππας δὲ τότε δεθεὶς εἱστήκει πρὸ τοῦ βασιλείου πρός τινι δένδρῳ κλιθεὶς ὑπὸ 195
ἀθυμίας μετὰ πολλῶν οἳ ἐδέδεντο. καί τινος ὀρνέου καθίσαντος ἐπὶ τοῦ δένδρου, ᾧ
Ἀγρίππας προσεκέκλιτο, βουβῶνα δὲ Ῥωμαῖοι τὸν ὄρνιν τοῦτον καλοῦσι, τῶν δεσμωτῶν
τίς Γερμανὸς θεασάμενος ἤρετο τὸν στρατιώτην, ὅστις εἴη ὁ ἐν τῇ πορφυρίδι. καὶ μαθὼν 196
ἠξίωσε τὸν συνδεδεμένον αὐτῷ στρατιώτην πλησίον ἐλθεῖν· βούλεσθαι γάρ τινα ἀμφὶ τῶν
πατρίων ἔρεσθαι αὐτόν. καὶ τυχὼν δι' ἑρμηνέως „ὦ νεανία, φησί, καταχθεῖ μέν σε τὸ 197
αἰφνίδιον τῆς μεταβολῆς πολλήν τὲ οὕτως καὶ ἀθρόαν ἐπαγαγὸν τὴν τύχην, ἀπιστία δέ
σοι τῶν λόγων, οἳ ἐπὶ ἀποφυγῇ κακοῦ τοῦ ἐφεστηκότος διῃροῦντο τοῦ θείου τὴν πρόνοιαν.
ἴσθι γε μήν, θεοὺς τοὺς ἐμοὺς πατρῴους καὶ τοὺς τῇδε ἐγχωρίους ἐπομνύμενος, λέξω τὰ 198
πάντα οὔτε ἡδονῇ γλωσσάλγῳ διδοὺς τὸν ἐπ' αὐτοῖς λόγον οὔτε διακενῆς ἐσπουδακώς σε
εὐθυμεῖν· οὐκ ἔσθ' ὅπως οὐκ εὐθέως ἀπαλλαγή τέ σοι τῶν δεσμῶν παρέσται καὶ πρόοδος 200

1 ταῦτα Busb. — μάκρω Berol. — σηΐανος Berol. — 2 ἔχει Busb. — 4 δὲ] τε Busb. — 5 εἴ γαρ Busb. — 9 ἐκελεύσαντος Berol. — θεραπεύειν] θεραπεύειν Τιβέριον Iosephus. — 15 ὁ om. Busb. — 17 ἦγον] ἦγει Berol. — 19 τῶν τοῦ γαΐου Berol. — 20 κομίζοντι Berol. — 23 παρὰ] περι Berol. — μοι] μένοι Berol. — 25 καθίστησιν Berol. — 27 βασιλέως Berol. — 28 ἐδέδοντο Busb. — 30 ἤρετον τὸν Berol. — 33 τὴν supra versum man. 2 Busb. — 37 παρέσαι Berol.

Zonaras I p. 492 Bonn.

ἐπὶ μήκιστον ἀξιώματος καὶ δυνάμεως, ζηλωτὸς τὲ ἂν γένοιο πᾶσιν, οἳ νῦν δι' οἴκτου τὰς
τύχας σου λαμβάνουσιν, εὐδαίμων τ' ἂν ποιοῖο τὴν τελευτὴν παισὶν οἷ εἶεν τὸν ὄλβον
καταλειπόμενος. μνημόνευε δέ, ὁπότε εἰσαῦθις τὸν ὄρνιν θεάσαιο τοῦτον, πέντε ἡμέραις
201 σοι τὴν τελευτὴν ἐσομένην. ταῦτα πεπράξεται μὲν ᾗπερ ἀποσημαίνει τοῦ θεοῦ τὸ ἐξα-
ποστεῖλαν τουτονὶ τὸν ὄρνιν, προγνώσει δὲ αὐτῶν σύνεσιν τὴν παραγενομένην ἀποστερεῖν
σ' ἄδικον ἡγησάμην. μνήμην δὲ ποιοῦ εἰς χεῖράς σοι παραγενομένου τοῦ εὐδαίμονος καὶ
202 τοῦ καθ' ἡμᾶς, ὡς διαφευξώμεθα τὴν δυστυχίαν ᾗ τανῦν σύνεσμεν." καὶ ὁ μὲν Γερ-
μανὸς τοσάδε προειπὼν εἰς τοσόνδε ὦφλε γέλωτα τῷ Ἀγρίππᾳ ἐφ' ὅσον ἐν τοῖς ὕστερον
ἐφάνη θαύματος ἄξιος. ἡ δὲ Ἀντωνία χαλεπῶς φέρουσα τοῦ Ἀγρίππα τὴν δυστυχίαν τὸ
203 μὲν Τιβερίῳ περὶ αὐτοῦ διαλέγεσθαι ἐργωδέστερον ἑώρα, εὑρίσκετο δ' αὐτῷ παρὰ τοῦ
Μάκρωνος στρατιωτῶν τὲ μετρίων ἀνδρῶν οἳ παραφυλάξειαν αὐτὸν ἐν φροντίσι καὶ
ἑκατοντάρχου ἐφεστηξομένου τὲ ἐκείνοις καὶ συνδέτου ἐσομένου, λουτρὰ τὲ σύγχωρεῖσθαι
καὶ ἀπελευθέρων καὶ φίλων εἰσόδους τήν τε ἄλλην ῥαστώνην, ἣ τῷ σώματι γένοιτ' ἄν.
204 εἰσῄεσάν τε ὡς αὐτὸν φίλος τὲ Σίλας καὶ τῶν ἀπελευθέρων Μαρσύας καὶ ὁ Στοιχεὺς
τροφὰς εἰσκομίζοντες καὶ δι' ἐπιμελείας πάσης ἔχοντες. καὶ ταῦτα ἐπράσσετο ἐπὶ
μῆνας ἕξ.
205 Τιβέριος δ' ἐπανελθὼν εἰς τὰς Καπραίας ἐμαλακίζετο τὰ μὲν πρῶτα μετρίως, ἐπι-
δούσης δ' εἰς τὸ μᾶλλον τῆς νόσου πονηρὰς ἔχων περὶ αὐτῷ τὰς ἐλπίδας Εὔοδον, ὃς ἦν
αὐτῷ τιμιώτατος τῶν ἀπελευθέρων, κελεύει τὰ τέκνα προσαγαγεῖν πρὸς αὐτόν· χρῄζειν
206 γὰρ ἀφικέσθαι σφίσι διὰ λόγων πρὶν ἢ τελευτᾶν. ἦσαν δὲ αὐτῷ παῖδες γνήσιοι μὲν οὐκέτι·
Δροῦσος γὰρ μόνος αὐτῷ γεγονὼς ἐτύγχανε τεθνεώς· υἱὸς δὲ τούτου κατελείπετο Τιβέριος
ἐπικαλούμενος Γέμελος Γάϊός τε Γερμανικοῦ παῖς, ἀδελφοῦ υἱὸς γεγονώς, νεανίας τὲ ἤδη
καὶ παιδείαν ἐκπεπονηκὼς ἐπιπλεῖστον εὐνοίᾳ τὲ τοῦ δήμου τιμώμενος διὰ τὴν Γερμανικοῦ
207 τοῦ πατρὸς ἀρετήν· ἐπὶ μέγιστον γὰρ δὴ οὗτος ἦλθε παρὰ τοῖς πλήθεσι τιμῆς εὐσταθείᾳ
τρόπου καὶ δεξιότητι τοῦ ὁμιλεῖν ἀνεπαχθὴς ὢν καὶ τὴν ἀξίωσιν κτώμενος τῷ βούλεσθαι
208 ἴσος πᾶσιν εἶναι. ἐξ ὧν οὐ μόνον ὁ δῆμος καὶ ἡ βουλὴ μειζόνως ἦγον αὐτόν, ἀλλὰ καὶ
209 210 τῶν ὑποτελῶν ἕκαστον ἐθνῶν, οὕτως ἀνεπαχθῶς ὡμίλησε τοῖς ἀνθρώποις, μέγα ὄφελος
διὰ τούτων καὶ τῷ παιδὶ αὐτοῦ καταλελοιπώς· ᾖρτο γὰρ μάλιστα τὸ στρατιωτικὸν περὶ τῆς
211 ἀρχῆς ἐκείνῳ περιγενησομένης. ὁ δὲ Τιβέριος Εὐόδῳ κελεύσας κατὰ τὴν ὑστεραίαν ὑπὸ
τὴν ἕω τοὺς παῖδας εἰσαγαγεῖν εὔχεται τοῖς πατρίοις θεοῖς σημεῖόν τι προφαντὸν αὐτῷ
δεῖξαι περὶ τοῦ τὴν ἡγεμονίαν διαδεξομένου, σπεύδων δὲ τῷ υἱεῖ τοῦ παιδὸς αὐτὴν κατα-
λιπεῖν, μεῖζον δόξης τὲ καὶ βουλήσεως τῆς αὐτοῦ πεπίστευκε τοῦ θεοῦ τὸ ἐπ' αὐτοῖς ἀπο-
212 φανούμενον. οἰώνισμα δ' οὖν αὐτῷ προὔκειτο, εἰς ἐκεῖνον ἥξειν τὴν ἡγεμονίαν, ὃς ἂν
κατὰ τὴν ἐπιοῦσαν ἀφίκοιτο πρὸς αὐτὸν πρότερος. ταῦτα διανοηθεὶς πέμπει παρὰ τὸν
213 παιδαγωγὸν τοῦ υἱωνοῦ κελεύων ὑπὸ πρώτην ἡμέραν ἄγειν τὸν παῖδα ὡς αὐτόν. ὁ

1 γένοις Berol. — 4 πράξεται Busb. — 4 τοῦ] σοι τοῦ Busb. — 6 σ'] σε Berol. — μνήμην om. Berol. — σοι] σου Berol. — 7 τὴν] τῆς Berol. — 7 καὶ ὁ μὲν om. Berol. — 9 τὸ] τῷ Busb. — 10 μερίων Berol. — 12 ἐσομένους Busb. — 14 εἰσίεσαν Busb. — 18 τὰς om. Busb. — 19 τιμιώτατον Berol. — χρήζει Busb. — 20 δὲ] μὲν Berol. — μὲν om. Berol. — 22 Γέμελος om. Berol. — 24 εὐστά [θ] Berol. — 26 μειζόνας ἦσον Berol. — 30 πατρώοις Berol. — 31 ἀναδεξαμένου Berol. — 34 πρότερον Berol. — 35 ὑπὸ] ὑπὸ τὴν Berol. — ὡς] εἰς Berol.



Zonaras I p. 493 Bonn.

μὲν δὴ ἐπεὶ ἡμέρα ἦν, κελεύει τὸν Εὔοδον εἰσκαλεῖν τῶν παίδων τὸν παρόντα. ἐκεῖνος
δὲ τὸν Γάϊον πρὸ τοῦ δωματίου καταλαβών, ὁ γὰρ Τιβέριος οὐ παρῆν, ᾔδει δ' ὁ Εὔοδος
οὐδὲν ὧν ἐβούλετο ὁ δεσπότης, „καλεῖ σε, φησίν, ὁ πατήρ" καὶ εἰσήγαγεν αὐτόν. Τιβέριος 214
δ' ὡς θεᾶται Γάϊον, τότε πρῶτον εἰς ἔννοιαν ἐλθὼν τοῦ θείου τῆς ἐξουσίας καὶ τὴν κατ'
αὐτὸν ἡγεμονίαν ἀφῃρημένην ἐπικυροῦν οἷς ψηφίσοιτο δυνάμεως αὐτῷ μὴ παραγενομένης
ἐκεῖθεν, πολλὰ δὴ κατωλοφύρατο. ἦν δὲ καὶ γενεθλιαλογίᾳ Τιβέριος τὰ μάλιστα προσκεί- 216
μενος. Γάλβαν οὖν ποτὲ θεασάμενος ὡς αὐτὸν εἰσιόντα φησίν, ὡς παραγένοιτο ἀνὴρ τῇ
Ῥωμαίων ποτὲ τιμησόμενος ἡγεμονίᾳ. καὶ τότε ἐν χαλεποῖς ἦν συντυχίᾳ τοῦ γεγονότος, 218
ὡς ἐπ' ἀπολωλότι τῷ υἱεῖ τοῦ παιδὸς ἀχθεινῶς διακείμενος. καίπερ δὲ τεταραγμένος τῇ 219
παρὰ δόξαν τῆς ἀρχῆς εἰς οὓς οὐκ ἤθελε περιόδῳ, καὶ μὴ βουλόμενος φησὶ πρὸς τὸν
Γάϊον· „ὦ παῖ, καίπερ μοι συγγενεστέρου Τιβερίου ἢ κατὰ σὲ ὄντος δόξῃ τὲ τῇ ἐμαυτοῦ
καὶ τῇ ὁμοψήφῳ ἐπ' αὐτῇ τῶν θεῶν σοὶ φέρων ἐγχειρίζω τὴν Ῥωμαίων ἡγεμονίαν. ἀξιῶ 220
τὲ σὲ μὴ ἀμνημονεῖν ὁμιλήσαντα αὐτῇ μήτ' εὐνοίας τῆς ἐμῆς μήτε τοῦ πρὸς Τιβέριον
συγγενοῦς, ἀλλὰ Τιβερίου φροντίζειν διὰ τὴν συγγένειαν, οὐ γὰρ ἀτιμώρητα τοῖς θεοῖς 221 222
ὁπόσα παρὰ δίκην πράσσοιτο". ταῦτα μὲν ὁ Τιβέριος ἔλεγεν, οὐ μὴν πιθανὸς ἦν τῷ 223
Γαΐῳ καίπερ ὑπισχνουμένῳ, ἀλλὰ καταστὰς εἰς τὴν ἀρχὴν τόν τε Τιβέριον μαντείαις
αἵρεται ταῖς ἐκείνου καὐτὸς ἐπιβουλῶν ἐπ' αὐτῷ συντεθεισῶν μετ' οὐ πολὺ τελευτᾷ.
Τιβέριος δὲ τότε τὸν Γάϊον ἀποδείξας διάδοχον τῆς ἡγεμονίας ὀλίγας ἐπιβιοὺς 224
ἡμέρας ἔθανε σχὼν τὴν ἀρχὴν ἡμέρας τρεῖς καὶ πέντε μῆνας πρὸς ἐνιαυτοῖν δυοῖν καὶ
εἴκοσι. Γάϊος δὲ ἦν αὐτοκράτωρ τέταρτος. Ῥωμαίοις δὲ ἧκε μὲν πύστις τῆς Τιβερίου 225
τελευτῆς εὐφραίνοντό τε τῷ ἀγαθῷ τῆς ἀγγελίας, οὐ μὴν ἐπίστευον, οὐ τῷ μὴ βούλεσθαι,
πολλῶν γὰρ ἂν ἐτιμήσαντο χρημάτων τὸ ἐπαληθεῦσον τῶν λόγων, δέει δὲ μὴ ψευδοῦς
τῆς ἀγγελίας γενομένης εἶτ' ἀπόλοιντο ἐπὶ δηλώσει τοῦ αὐτῶν χάρματος· πλεῖστα γὰρ ἀνὴρ 226
οὗτος Ῥωμαίων τοὺς εὐπατρίδας εἰργάσατο δεινά, δυσόργητος ἐπὶ πᾶσιν ὢν καὶ οἷς κρίνοιεν
ἐξαγριοῦν φύσιν ἔχων, εἰς θάνατον δὲ καὶ τῶν κουφοτάτων ἀνατιθεὶς τὴν ζημίαν.
Μαρσύας δὲ τοῦ Ἀγρίππου ὁ ἀπελεύθερος πυθόμενος τοῦ Τιβερίου τὴν τελευτὴν ὠθεῖτο 228
δρομαῖος τῷ Ἀγρίππᾳ ἀγγελιούμενος, καὶ καταλαβὼν ἐν ἐξόδοις ὄντα εἰς τὸ βαλανεῖον
συννεύσας πρὸς αὐτὸν γλώσσῃ τῇ Ἑβραίων „τέθνηκεν ὁ λέων" φησίν. ὁ δὲ συνεὶς καὶ 229
χάρματι περιενεχθείς „ἀλλά σοι τῶν ἁπάντων καὶ τῆσδε τῆς ἀγγελίας χάριτες ἐν ἐμοὶ
γίνοιντο, μόνον ἂν ἀληθῆ τὰ λεγόμενα εἴη." καὶ ὁ ἑκατόνταρχος, ὅσπερ τῇ φυλακῇ ἐφει- 230
στήκει τοῦ Ἀγρίππου, θεώμενος τήν τε τοῦ Μαρσύα σπουδὴν καὶ τὸ ἐκ τῶν λόγων χάρμα,
ὑποτοπήσας καίνωσίν τινα γεγονέναι, ἤρετο σφᾶς περὶ τοῦ λόγου. οἱ δὲ τέως μὲν παρέ- 231
τρεπον, ἐγκειμένῳ δὲ ἀποσημαίνει ὁ Ἀγρίππας, ἤδη γὰρ φίλος ἦν. ὁ δὲ ἐκοινοῦτο τὲ τὴν
ἡδονὴν προυτίθει τὲ αὐτῷ δεῖπνον. εὐωχουμένων δ' αὐτῶν παρῆν τίς λέγων ζῆν τὲ τὸν
Τιβέριον καὶ ὀλίγων ἡμερῶν ἐπανήξειν εἰς τὴν πόλιν. καὶ ὁ ἑκατόνταρχος δεινῶς θορυ- 232
βηθεὶς τῷ λόγῳ ὡς εἰς θάνατον ἀνακείμενα πεπραχώς, δεσμώτῃ ἐν ἐπαγγελίᾳ θανάτου
αὐτοκράτορος συνδιαιτώμενος μετὰ χάρματος, ἀπωθεῖται τὸν Ἀγρίππαν τοῦ κλινιδίου καὶ

1 κελεύων Busb. — 2 καταβαλὼν man 1 Busb. — ἤδη Berol. — 4 θεᾶται] θέλης Berol. — 11 σὲ] δὲ Berol. — 12 τῇ] τῷ Iosephus. — 26 ἀγρίππα Busb. — ὠθεῖται Berol. — 30 ἐφεστήκει Busb. — 31 τοῦ μαρσύ [ο] πουδὴν Berol. — 37 αὐτοκράτωρ Berol.

Zonaras I p. 494 Bonn.

233 κελεύει δῆσαι αὐτὸν ἤδη λελυκὼς φυλακήν τε ἀκριβεστέραν αὐτοῦ καθιστᾷ. καὶ νύκτα
234 μὲν ἐκείνην ὁ Ἀγρίππας ἐν τοιούτοις κακοῖς ἦν. τῇ δ' ὑστεραίᾳ λόγος τε πλείων ἦν κατὰ
τὴν πόλιν ἐπὶ τῇ τελευτῇ τοῦ Τιβερίου, ἐθάρρουν τὲ οἱ ἄνθρωποι φανερῶς ἤδη θροεῖν
καί τινες καὶ θυσίας ἐπετέλουν, ἐπιστολαί τε ἀφίκοντο παρὰ τοῦ Γαΐου, ἡ μὲν πρὸς τὴν
σύγκλητον τοῦ Τιβερίου διασαφοῖσα τὸν θάνατον καὶ τὴν αὐτοῦ παράληψιν τῆς ἡγεμονίας,
235 ἡ δὲ πρὸς Πείσωνα τὸν φύλακα τῆς πόλεως τῶ τότε ἀγορεύουσα, καὶ τὸν Ἀγρίππαν ἐκ
τοῦ στρατοπέδου μεταστήσειν εἰς τὴν οἰκίαν, ἐν ᾗ προτοῦ δεθῆναι ἦν. τότε ἐν
θάρσει λοιπὸν ἦν· φυλακὴ μὲν γὰρ καὶ τήρησις ἦν, μετὰ μέντοι ἀνέσεως τῆς εἰς τὴν
236 δίαιταν. Γάϊος δὲ ὡς ἐπὶ Ῥώμης παρῆν ἄγων τοῦ Τιβερίου τὸ σῶμα, ταφάς τε αὐτοῦ
ποιεῖται πολυτελεῖς νόμοις τοῖς πατρίοις, Ἀγρίππαν τὲ αὐθημερὸν λύειν ὄντα πρόθυμον
κώλυμα Ἀντωνία ἦν, οὔ τι μίσει τῷ πρὸς τὸν δεδεμένον, προμηθείᾳ δὲ τοῦ Γαΐου εὐπρε-
ποῦς, μὴ δόξαν ἀπάγοιτο ἡδονῇ δεχομένου τὴν Τιβερίου μετάστασιν ἄνδρα ὑπ' ἐκείνου
237 δεδεμένον λύων ἐκ τοῦ ὀξέος. διελθουσῶν μέντοι οὐ πολλῶν ἡμερῶν μεταπεμψάμενος
αὐτὸν εἰς τὸν οἶκον ἀποκείρει τὲ καὶ μεταμφιέννυσιν, εἶτα τὸ διάδημα περιτίθησι τῇ
κεφαλῇ καὶ βασιλέα καθίστησιν αὐτὸν τῆς Φιλίππου τετραρχίας δωρησάμενος αὐτῷ καὶ
τὴν Λυσανίου τετραρχίαν ἀλλάττει τὲ σιδηρᾷ ἁλύσει χρυσῆν ἰσόσταθμον. ἱππάρχην δὲ
238 ἐπὶ τῆς Ἰουδαίας ἐκπέμπει Μάρυλλον. δευτέρῳ δὲ ἔτει τῆς Γαΐου Καίσαρος ἡγεμονίας
Ἀγρίππας ἠξίου συγχώρησιν αὐτῷ γενέσθαι πλεύσαντι τήν τε ἀρχὴν καταστήσασθαι καὶ
239 τὰ ἄλλα εἰς δέον οἰκονομησαμένῳ ἐπανεῖναι. καὶ συγχωροῦντος τοῦ αὐτοκράτορος παρῆν
παρ' ἐλπίδας τὲ ὤφθη πᾶσι βασιλεύς. καὶ οἱ μὲν ἐμακάριζον τοῦ μὴ διαμαρτίᾳ χρήσασθαι
τῶν ἐλπίδων, οἱ δ' ἐν ἀπιστίᾳ περὶ τῶν γεγονότων ἦσαν.
240 Ἡρωδιὰς δὲ ἡ ἀδελφὴ αὐτοῦ συνοικοῦσα τῷ τετράρχῃ Ἡρώδῃ φθόνῳ τἀδελφοῦ τὴν
241 ἐξουσίαν ἐδέχετο, ὁρῶσα ἐν μείζονι πολὺ ἀξιώματι γεγενημένον ἀνδρὸς τοῦ αὐτῆς. ἐλυ-
πεῖτο οὖν καὶ βαρέως ἔφερε τῇ αὐτοῦ μεταβολῇ, καὶ μάλιστα ὁπότε θεάσαιτο μετὰ τῶν
εἰωθότων παρασήμων τῆς βασιλείας ἐπιφοιτῶντα τοῖς πλήθεσι, ἐπικρύπτεσθαί τε οὐκ
ἠνείχετο τὴν δυστυχίαν τοῦ φθόνου, ἀλλὰ τὸν ἄνδρα ἐξῆρε κελεύουσα ἐπὶ τῆς Ῥώμης
245 πλεῖν ἐπὶ μνηστείᾳ τῶν ἴσων. ὁ δὲ τέως μὲν ἀπεμάχετο ἀγαπῶν τὴν ἡσυχίαν, ἡ δ' ἐφ'
ὅσον ἐξαναχωροῦντα ἑώρα μειζόνως ἐπέκειτο κελεύουσα μὴ ἀνιέναι πάντα πράσσειν ἐπὶ
246 τῇ βασιλείᾳ. καὶ πέρας οὐκ ἀνῆκεν ἕως ἐξεκίνησεν αὐτὸν ὁμογνώμονα αὐτῆς ἀκουσίως γενέ-
σθαι μὴ οὔσης ἄλλως ἀποφυγῆς. παρασκευασάμενός τε ὡς ἐνῆν πολυτελῶς ἀνήγετο ἐπὶ
247 τῆς Ῥώμης ἅμα καὶ τὴν Ἡρωδιάδα ἀγόμενος. Ἀγρίππας δὲ τήν τε διάνοιαν αὐτῶν καὶ
τὴν παρασκευὴν αἰσθόμενος καὶ αὐτὸς παρεσκευάζετο, ἐπεί τ' ἐκπεπλευκότας ἀκούει,
πέμπει καὶ αὐτὸς ἐπὶ τῆς Ῥώμης Φουρτούνατον αὐτοῦ τῶν ἀπελευθέρων δῶρά τε κομί-
ζοντα τῷ αὐτοκράτορι καὶ ἐπιστολὰς κατὰ τοῦ Ἡρώδου, τὰ δὲ καὶ αὐτὸν διδάξοντα τὸν
248 Γάϊον εἰ καιρός. ὁ δὲ ἐπαναχθεὶς τοῖς ἀμφὶ τὸν Ἡρώδην καὶ δεξιῷ χρησάμενος τῷ πλῷ
τοσόνδε ἀπελείπετο τοῦ Ἡρώδου, ὥστε τὸν μὲν ἐντυγχάνειν Γαΐῳ, ὁ δὲ ἐπικατάγεται καὶ

2 πλειόνων Berol. — 3 θρονεῖν Berol. — 4 τινες] τινας Berol. — 5 τὸν θάνατον] τὴν τελευτὴν Iosephus. — 6 τῶ τότε] τοῦτό τε Iosephus. — 7 δεηθῆναι Berol. — 10 πατρώοις Berol. — ἀγρίππας τὸ αὐθημερὸν Berol. — 11 οὔτι] οὔτε Berol. — 12 δεχομένῳ Busb. δεσχομένου Berol. — 16 ἀλάττει Busb. — ἐπὶ] ἐκ Busb. — 22 i. marg. θ' Busb. — 25 εἰωθήτων Berol. — 29 ἥως Berol. — 32 τ'] τὲ Berol. — 34 τὸν om. Busb. — 35 τοῖς] τῆς Busb.



Zonaras I p. 495 Bonn.

τὰς ἐπιστολὰς ἀπεδίδου. καὶ προσέπλευσαν ἀμφότεροι Δικαιαρχίᾳ καὶ τὸν Γάϊον ἐν
Βαΐαις λαμβάνουσι. πολίδριον δ' ἐστὶ καὶ τοῦτο τῆς Καμπανίας ὅσον ἀπὸ σταδίων πέντε 249
τῆς Δικαιαρχίας κείμενον, βασίλειοί τε εἰσὶν οἰκήσεις αὐτόθι πολυτελέσι κεχρημέναι κατα-
σκευαῖς, λουτρὰ τὲ παρέχεται τὸ χωρίον θερμὰ αὐτόματα, ἀγαθὰ ἐπί τε ἰάσει τοῖς χρω-
μένοις καὶ ἄλλως τῷ ἀνειμένῳ τῆς διαίτης συμφέροντα. Γάϊος δὲ ἅμα τὲ προσαγορεύων 250
τὸν Ἡρώδην, πρῶτος αὐτῷ ἐνετύγχανε, ἅμα τε τοῦ Ἀγρίππου τὰς ἐπιστολὰς ἐπῄει ἐπὶ
κατηγορίᾳ τῇ ἐκείνου συγκειμένας, κατηγόρει δὲ αὐτοῦ ὁμολογίαν πρὸς Σηϊανὸν κατὰ τῆς
Τιβερίου ἀρχῆς καὶ πρὸς Ἀρτάβανον τὸν Πάρθον ἐπὶ τοῦ παρόντος κατὰ τῆς Γαΐου,
παράδειγμά τε ἦν αὐτῷ τοῦ λόγου μυριάσιν ἑπτὰ ὁπλιτῶν ἀρκέσουσα κατασκευὴ ἐν ταῖς 251
Ἡρώδου ὁπλοθήκαις ἀποκειμένη, ἐκινεῖτο τὲ ὑπὸ τῶν εἰρημένων καὶ ἤρετο τὸν Ἡρώδην,
εἰ ἀληθὴς ὁ περὶ τῶν ὅπλων λόγος. τοῦ δέ, οὐ γὰρ ἦν ἕτερα εἰπεῖν, εἰπόντος εἶναι τὰ 252
ὅπλα, πιστὰ ἡγούμενος εἶναι τὰ ἐπὶ τῇ ἀποστάσει κατηγορούμενα, τὴν τετραρχίαν ἀφελό-
μενος αὐτὸν προσθήκην τῇ Ἀγρίππου βασιλείᾳ ποιεῖται καὶ τὰ χρήματα ὁμοίως τῷ
Ἀγρίππᾳ δίδωσιν, αὐτὸν δὲ φυγῇ ἀϊδίῳ ἐζημίωσεν ἀποδείξας οἰκητήριον αὐτοῦ Λούγδουνον
πόλιν τῆς Γαλατίας. Ἡρωδιάδα δὲ μαθὼν Ἀγρίππου ἀδελφὴν οὖσαν τά τε χρήματα 253
ἐδίδου ὁπόσα ἐκείνης ἴδια ἦν καὶ τοῦ μὴ κοινωνεῖν τῷ ἀνδρὶ τῆς συμφορᾶς τεῖχος αὐτῇ
τὸν ἀδελφὸν ἔλεγεν. ἡ δέ „ἀλλὰ σὺ μέν, αὐτοκράτωρ, εἶπε, μεγαλοφρόνως τε καὶ ἀξιώ- 254
ματι τῷ σεαυτοῦ πρεπόντως τάδε λέγεις, κώλυμά μοι δέ ἐστι χρῆσθαί σου τῇ χάριτι τῆς
δωρεᾶς εὔνοια ἡ πρὸς τὸν γεγαμηκότα, οὗ κοινωνόν με τῆς εὐδαιμονίας γενομένην οὐ
δίκαιον ἐγκαταλιπεῖν ἐπὶ ταῖς τύχαις καθεσταμένον.“ ὁ δὲ ὀργὴν τοῦ μεγαλόφρονος αὐτὴν 255
ποιησάμενος συνήλαυνε καὶ αὐτὴν τῷ Ἡρώδῃ καὶ τὴν οὐσίαν αὐτῆς τῷ Ἀγρίππᾳ δῶρον
δίδωσιν. Ἡρωδιάδι μὲν δὴ φθόνου τοῦ πρὸς τὸν ἀδελφὸν καὶ Ἡρώδῃ γυναικείων ἀκροα-
σαμένῳ κουφολογιῶν δίκην ταύτην ἀπῄτησεν ὁ θεός. Γάϊος δὲ τὸν μὲν πρῶτον ἐνιαυτὸν 256
καὶ τὸν ἑξῆς πάνυ μεγαλοφρόνως ἐχρῆτο τοῖς πράγμασι καὶ μέτριον παρέχων αὐτὸν εἰς
εὔνοιαν πολλὴν προὐχώρει παρά τε Ῥωμαίοις αὐτοῖς καὶ τοῖς ὑπηκόοις. προϊὼν δ' ἐξίστατο
τοῦ ἀνθρωπείως φρονεῖν ὑπὸ μεγέθους τῆς ἀρχῆς ἐκθειάζων ἑαυτὸν καὶ τὰ πάντα ἐπ'
ἀτιμίᾳ τοῦ θείου πολιτεύειν ἦρτο.
Καὶ δὴ στάσεως ἐν Ἀλεξανδρείᾳ γενομένης Ἰουδαίων τε οἳ ἐνοικοῦσι καὶ Ἑλλήνων 257
τρεῖς ἀφ' ἑκατέρας τῆς στάσεως πρεσβευταὶ αἱρεθέντες παρῆσαν ὡς τὸν Γάϊον. καὶ ἦν
τῶν Ἀλεξανδρέων πρέσβεων εἷς Ἀπίων, ὃς πολλὰ εἰς τοὺς Ἰουδαίους ἐβλασφήμησεν ἄλλα
τε λέγων καὶ ὡς τῶν Καίσαρος τιμῶν περιορῷεν· πάντων γοῦν ὁπόσοι τῇ Ῥωμαίων ἀρχῇ 258
ὑποτελεῖς εἶεν βωμοὺς τῷ Γαΐῳ καὶ νεὼς ἱδρυμένων τά τε ἄλλα πᾶσιν αὐτὸν ὥσπερ τοὺς
θεοὺς δεχομένων, μόνους τούσδε ἄδοξον ἡγεῖσθαι ἀνδριάσι τιμᾶν καὶ ὅρκιον αὐτοῦ τὸ
ὄνομα ποιεῖσθαι. πολλὰ δὲ καὶ χαλεπὰ Ἀπίωνος εἰρηκότος, ὑφ' ὧν ἀναρθῆναι ἤλπιζε 259
τὸν Γάϊον καὶ εἰκὸς ἦν, Φίλων ὁ προεστὼς τῶν Ἰουδαίων τῆς πρεσβείας, ἀνὴρ τὰ πάντα

3 δικαια$\overset{\chi}{\rho}$ Berol., item v. 5 — 3 κεχρημένα Berol. — 6 ἐτύγχανε Berol. — τοῦ] τὸν Berol. — 7 ὁμολογία Berol. — πρὸς] τε πρὸς Busb. — 8 Πάρθον] παρθένον Berol. — 11 ἀληθῶς Berol. — 12 ἀπο-καταστάσει Berol. — 13 ἀγρίππα Berol. — 15 γαλατίας ex γαλιλαίας corr. Berol. — ἀγρίππα Berol. — 16 συμφορᾶς ex ἀμφορᾶς corr. Berol. — 17 αὐτοκράτορ Berol. — 19 γενομένου Berol. — 20 ὀργῇ Iosephus. — 28 i. marg. ι' Busb. — 30 πρέσβειν sic Berol. — 35 προεστὼς] προνος εἰρηκότος ὑφ' ὧν ἀναρθῆναι ἤλπιζε τὸν γάϊον καὶ εἰκὸς εστὼς (litt. νος ... εἰκὸς expunctae) Berol.

Zonaras I p. 497 Bonn.

ἔνδοξος Ἀλεξάνδρου τὲ τοῦ ἀλαβάρχου ἀδελφὸς ὢν καὶ φιλοσοφίας οὐκ ἄπειρος, οἷος τὲ
260 ἦν ἐπ' ἀπολογίᾳ χωρεῖν τῶν κατηγορημένων. διακλείει δ' αὐτὸν Γάϊος κελεύσας ἐκποδὼν
ἀπελθεῖν, περιοργής τε ὢν φανερὸς ἦν ἐργασόμενός τι δεινὸν αὐτοῖς. ὁ δὲ Φίλων ἔξεισι
περιυβρισμένος καὶ φησὶ πρὸς τοὺς Ἰουδαίους, οἳ περὶ αὐτὸν ἦσαν, ὡς χρὴ θαρρεῖν,
Γαΐου λόγῳ μὲν αὐτοῖς ὠργισμένου, ἔργῳ δὲ ἤδη τὸν θεὸν ἀντιπαρεξάγοντος.
261 Γάϊος δὲ ἐν δεινῷ φέρων εἰς τοσόνδε Ἰουδαίων ὕπο περιῶφθαι πρεσβευτὴν ἐπὶ
Συρίας ἐκπέμπει Πετρώνιον διάδοχον Οὐιτελίου τῆς ἀρχῆς, κελεύων χειρὶ πολλῇ ἐμβαλεῖν
εἰς τὴν Ἰουδαίαν, καὶ εἰ μὲν ἑκόντες δέχοιντο, ἱστᾶν αὐτοῦ ἀνδριάντα ἐν τῷ ναῷ τοῦ
262 θεοῦ, εἰ δ' ἀγνωμοσύνῃ χρῷντο, πολέμῳ κρατήσαντα τοῦτο ποιεῖν. καὶ Πετρώνιος Συρίαν
παραλαβὼν ἠπείγετο διακονεῖσθαι ταῖς ἐντολαῖς τοῦ Καίσαρος καὶ εἰς Πτολεμαΐδα παρῆν
263 μετὰ δυνάμεως αὐτόθι χειμάσων ὡς πρὸς ἔαρ τοῦ πολεμεῖν ἑξόμενος. Ἰουδαίων δὲ πολλαὶ
μυριάδες παρῆσαν ὡς τὸν Πετρώνιον κατὰ δεήσεις μὴ ἐπὶ παρανομίᾳ σφᾶς καταναγκάζειν
264 καὶ παραβάσει τοῦ πατρίου. εἰ δέ σοι πάντως πρόκειται τὸν ἀνδριάντα φέρειν
καὶ ἱστᾶν, ἡμᾶς αὐτοὺς πρότερον μεταχειρισάμενος πράσσε τὰ δεδογμένα· οὐδὲ γὰρ
265 δυνάμεθα περιόντες θεωρεῖν πράγματα ἡμῖν ἀπηγορευμένα.“ Πετρώνιος δὲ
ὀργὴν λαβὼν εἶπεν· „ἀλλ' εἰ μὲν αὐτοκράτωρ ὢν βουλεύμασι τοῖς ἐμαυτοῦ τάδε
πράσσειν ἐπενόουν, δίκαιος ἦν ὑμῖν πρός με ὁ λόγος οὗτος. νῦν δὲ Καίσαρος ἐπεσταλ-
κότος πᾶσα ἀνάγκη χρῆσθαι τοῖς ἐκείνῳ προανεψηφισμένοις διὰ τὸ εἰς ἀνήκεστον φέρειν
266 ζημίαν τὴν παρακρόασιν αὐτῶν.“ „ἐπεὶ τοίνυν οὕτω φρονεῖς, ὦ Πετρώνιε, φασὶν οἱ
Ἰουδαῖοι, ὡς ἂν τὰς ἐντολὰς τοῦ Γαΐου μὴ παρελθεῖν, οὐδ' ἂν αὐτοὶ παραβαίημεν τοῦ
νόμου τὴν προαγόρευσιν οὐδ' ἂν τολμήσαιμεν ἐπὶ τοσοῦτον κακοὶ γενέσθαι, ὥστε ὁπόσα
ἐκείνῳ δόξειε μὴ πρασσόμενα ἀγαθοῦ ῥοπὴν ἡμῖν φέρειν αὐτοὶ παραβαίνειν ποτ' ἂν
269 θάνατον φοβηθέντες.“ καὶ ὁ Πετρώνιος ἐκ τῶν λόγων γνοὺς δυσνίκητον αὐτῶν τὸ φρονοῦν
καὶ μὴ ἂν ἀμαχὶ καὶ φόνων δίχα τὴν ἀνάθεσιν τοῦ ἀνδριάντος γενήσεσθαι, τούς τε φίλους
ἀναλαβὼν καὶ θεραπείαν, ἣ περὶ αὐτὸν ἦν, ἐπὶ Τιβεριάδος ἠπείγετο κατανοήσων ὡς ἔχει
270 τῶν Ἰουδαίων τὰ πράγματα. καὶ Ἰουδαῖοι μέγαν ἡγούμενοι τὸν ἐκ τοῦ πρὸς Ῥωμαίους
πολέμου κίνδυνον, πολλαὶ μυριάδες ὑπηντίαζον Πετρώνιον εἰς τὴν Τιβεριάδα γενόμενον,
271 καὶ ἱκετείᾳ χρώμενοι μηδαμῶς εἰς ἀνάγκας τοιαύτας αὐτοὺς καθιστᾶν μηδὲ μιαίνειν ἀν-
δριάντος ἀναθέσει τὴν πόλιν. „πολεμήσετε ἄρα Καίσαρι, Πετρώνιος ἔφη, μήτε τὴν ἐκείνου
παρασκευὴν λογιζόμενοι μήτε τὴν ὑμετέραν ἀσθένειαν;“ οἱ δ' „οὐδαμῶς πολεμήσαιμεν,
ἔφασαν, τεθνηξόμεθα δὲ πρότερον ἢ παραβῆναι τοὺς νόμους“. ἐπί τε τὰ πρόσωπα
272 κείμενοι καὶ τὰς σφαγὰς προδεικνύντες ἕτοιμοι καὶ κτιννύεσθαι ἔλεγον εἶναι. καὶ ταῦτ'
ἐπράσσετο ἐπὶ ἡμέρας τεσσαράκοντα, καὶ τοῦ γεωργεῖν ἀπερίοπτοι λοιπὸν ἦσαν καὶ ταῦτα
τῆς ὥρας οὔσης πρὸς σπόρῳ, πολλή τε ἦν αὐτοῖς τοῦ θνήσκειν ἐπιθυμία, εἰ τὴν ἀνάθεσιν
273 τοῦ ἀνδριάντος θεάσαιντο. ἐν τούτοις ὄντων τῶν πραγμάτων Ἀριστόβουλος ὁ Ἀγρίππου
τοῦ βασιλέως ἀδελφὸς καὶ Ἑλκίας ὁ μέγας ἄλλοι τὲ οἱ κράτιστοι τῆσδε τῆς οἰκίας καὶ οἱ

1 τοῦ ex τα corr. Busb. — 2 ἦν] τὲ ην Busb. — 3 δεινὸν] δεῖν Berol. — 4 περιυβρισμένου Berol. — 6 i. marg ιαʹ Busb — ἰουδαίων ὑπὸ Berol. ὑπὸ Ἰουδαίων Iosephus. — 13 πατρίου] σρίου (h. σωτηρίου) Berol. — 15 παριόντες Berol. — 23 γνοὺς] θεασάμενος Iosephus. — 24 μὴ om. man. 1 Busb — 29 πολεμήσατε (ε supra) Busb. πολεμήσεται (ε supra) Berol. — 31 πρόσωπα] πρόστια Berol. — 32 φαγὰς Berol. — 34 σπείρῳ ex σπόρῳ corr. Berol. — 35 τοιούτοις Busb. — 36 τοῦ om. Busb. — τῆσδε iterat Berol.



Zonaras I p. 498 Bonn.

πρῶτοι σὺν αὐτοῖς εἰσίασιν ὡς τὸν Πετρώνιον παρακαλοῦντες αὐτόν, ἐπειδὴ τὴν προ- 274
θυμίαν ὁρᾷ τῆς πληθύος, μηδὲν εἰς ἀπόνοιαν αὐτῆς παρακινεῖν, ἀλλὰ γράφειν πρὸς
Γάϊον τὸ ἀνήκεστον αὐτῶν πρὸς τὴν ὑποδοχὴν τοῦ ἀνδριάντος, πῶς τε ἀποστάντες τοῦ
γεωργεῖν ἀντικαθέζονται, πολεμεῖν μὲν οὐ βουλόμενοι, θανεῖν δ' ἔχοντες ἡδονὴν πρὶν
παραβῆναι τὰ νόμιμα αὐτοῖς, πῶς τὲ ἀπόρου τῆς γῆς γενομένης λῃστεῖαι ἂν φύοιντο
ἀδυναμίᾳ καταβολῆς τῶν φόρων· ἴσως γὰρ ἂν ἐπικλασθέντα τὸν Γάϊον μηδὲν ὠμὸν δια- 275
νοηθῆναι· ἐμμένοντος δὲ τῇ βουλῇ καὶ αὖθις τοῦ πολεμεῖν τότε δὴ καὶ αὐτὸν ἅπτεσθαι
τοῦ πράγματος. Πετρώνιος δὲ τοῦτο μὲν τῶν περὶ τὸν Ἀριστόβουλον παντοίως ἐπικειμένων 276
διὰ τὸ ὑπὲρ μεγάλων ποιεῖσθαι τὴν δέησιν, τοῦτο δὲ τῶν Ἰουδαίων θεώμενος τὴν ἀντι- 277
παράταξιν τῆς γνώμης καὶ δεινὸν ἡγούμενος τοσαῖσδε ἀνθρώπων μυριάσι μανίᾳ
τῇ Γαΐου διακονούμενος ἐπαγαγὼν θάνατον ἐν αἰτίᾳ τὸ πρὸς θεὸν σεβάσμιον
σχεῖν καὶ μετὰ πονηρᾶς τὸν μετὰ ταῦτα βίον ἐλπίδος διαιτᾶσθαι, πολὺ κρεῖσσον
ἡγεῖτο ἐπιστεῖλαι τῷ Γαΐῳ τὸ ἀνήκεστον αὐτῶν· τάχα μὲν γὰρ καὶ πείσειν· τῇ 278
δὲ μανίᾳ τῆς γνώμης ἐπιμένοντος ἅψασθαι πολέμου τοῦ πρὸς αὐτούς, εἰ δ' ἄρά τι καὶ
κατ' αὐτοῦ τρέποι τῆς ὀργῆς, καλῶς ἔχειν τοῖς ἀρετῆς μεταποιουμένοις ὑπὲρ τοσῆσδε ἀν-
θρώπων πληθύος τελευτᾶν ἔκρινε. συγκαλέσας δὲ εἰς τὴν Τιβεριάδα τοὺς Ἰουδαίους, οἱ 279
δὲ ἀφίκοντο πολλαὶ μυριάδες, ὑπέσχετο ἐπιστεῖλαι Γαΐῳ γνώμας τὲ τὰς αὐτῶν διασαφῶν 281
καί πῃ συνηγορίᾳ χρώμενος ὑπὲρ τοῦ κατ' αὐτούς, καὶ συμπράξειν μὲν τὸν θεὸν ηὔχετο πρυ-
τανεύων ὑμῖν μὲν τὴν τήρησιν τῶν πατρίων, ἐμοὶ δὲ μηδὲν ἀνθρωπείαις βουλήσεσι τιμῶν
τῶν εἰωθυιῶν ἁμαρτεῖν. εἰ δ' ἐκπικρανθείς, ἔλεγεν, Γάϊος εἰς ἐμὲ τρέψει τὸ ἀνήκεστον 282
τῆς ὀργῆς, τλήσομαι πάντα κίνδυνον καὶ πᾶσαν ταλαιπωρίαν συνιοῦσαν τῷ σώματι καὶ
τῇ ψυχῇ ὑπὲρ τοῦ μὴ ὑμᾶς τοσούσδε ὄντας ἐπιδεῖν ταῖς ἀγαθαῖς πράξεσι διολλυμένους.
ἄπιτε οὖν ἐπὶ τὰ ἔργα τὰ αὐτῶν ἕκαστοι καὶ τῇ γῇ ἐπιπονεῖτε.“ ταῦτα εἰπὼν προμη- 283 284
θεῖσθαι τῶν εἰς τὴν γεωργίαν ἠξίου τοὺς ἐν τέλει καὶ καθομιλεῖν τὸν λαὸν ἐλπίσι χρησταῖς.
καὶ ὁ μὲν εὐθυμεῖν τὸ πλῆθος ἔσπευδεν. ὁ δὲ θεὸς παρουσίαν ἐπεδείκνυε τὴν αὐτοῦ
καὶ τὴν ἐπὶ τοῖς ὅλοις σύλληψιν Πετρωνίῳ· ἅμα τε γὰρ ἐπαύετο τοῦ λόγου, ὃν πρὸς 285
Ἰουδαίους εἶπε, καὶ αὐτίκα ὑετὸν ἠφίει μέγαν μηδ' ἐν ἐλπίδι τότε τοῖς ἀνθρώποις γενό-
μενον. τοῦ γὰρ παντὸς ἔτους αὐχμῷ μεγάλῳ κατισχημένου ἐπ' ἀπογνώσει τοῦ ἄνωθεν
ὕδατος ἦσαν οἱ ἄνθρωποι, ὥστε πολλοῦ παρὰ τὸ εἰωθὸς καὶ παρὰ τὴν αὐτῶν δόξαν 286
ἐφιγμένου ὕδατος τοῖς τε Ἰουδαίοις ἐλπὶς ἦν οὐκ ἀτυχήσειν Πετρώνιον ὑπὲρ αὐτῶν δεό-
μενον, ὅ τε Πετρώνιος κατεπέπληκτο μειζόνως ὁρῶν ἐναργῶς τὸν θεὸν τῶν Ἰουδαίων
προμηθούμενον καὶ πρὸς τὸν Γάϊον δὲ γράφων σὺν τοῖς λοιποῖς οἷς ἔγραφεν, ἐπαγωγὰ 287
δὲ ἦν τὰ πάντα, καὶ περὶ τοῦ θείου ὡς προεστηκότος τῶν Ἰουδαίων ἀπέφαινε. καὶ 288
Πετρώνιος μὲν ἐν τούτοις ἦν. Ἀγρίππας δὲ ὁ βασιλεύς, ἐτύγχανε γὰρ ἐπὶ Ῥώμης 289
διαιτώμενος, προὔκοπτε φιλίᾳ τῇ πρὸς τὸν Γάϊον μειζόνως. καί ποτε προθεὶς δεῖπνον
αὐτῷ καὶ πρόνοιαν ἔχων πάντας ὑπερβαλέσθαι τοσοῦτον ἅπαντας ὑπερῆρε τῇ παρασκευῇ, 290

2 ὁρᾶν man. 1 Berol. — αὐτῆς] αὐτοῖς Busb. — 5 ἀσπόρου Iosephus. — 7 ἐπικλασθέντες Berol. — 9 τῶν] καὶ τῶν Busb. — 11 ἐπαγαγεῖν Berol. — 14 ἐπὶ μέλλοντος Berol. — 16 τὴν om. Busb. — 18 πῃ om. Berol. — συμπράξει Berol. — 20 ἔλεγε Berol. et ex corr. Busb. — 21 πάντα] παντὶ Berol. — 22 ἐπιδεῖν] θεωρεῖν Iosephus. — 23 ἕκαστον Berol. — 24 τὸν om. Busb. — 26 πετρωνίου Busb. — 27 τότε om. Busb. — 29 παρὰ] περὶ Berol. — 31 οὐκ ἀτυχήσειν] οὐκατησχήσειν Berol. — κατέπληκτο Busb. — 33 ἀπέφανε Berol. — 35 προσθεὶς Busb.

Zonaras I p. 488 Bonn.

291 ὡς καὶ Γάϊον ἐκθαυμάσαι τὴν διάνοιαν αὐτοῦ καὶ μεγαλοπρέπειαν, ὡς ἐπ' ἀρεσκείᾳ τῇ
αὐτοῦ βιάζοιτο καὶ ὑπὲρ δύναμιν τῇ τῶν χρημάτων εὐπορίᾳ χρῆσθαι, καὶ φάναι πρὸς
292 αὐτόν „Ἀγρίππα, καὶ πρότερον μὲν σοι τιμὴν συνήδειν ᾗ ἐχρῶ πρὸς ἐμὲ καὶ πολλὴν
εὔνοιαν μετὰ κινδύνων ὑποδειχθεῖσαν, οἷς ὑπὸ Τιβερίου περιέστης δι' αὐτήν. ὅθεν,
αἰσχρὸν γὰρ ἡττᾶσθαί με ὑπὸ τῆς σῆς σπουδῆς, ἀναλαβεῖν βούλομαι τὰ ἐλλελειμμένα
293 πρότερον." καὶ ὁ μὲν ταῦτα ἔλεγεν οἰόμενος τήν τε πολλὴν τῆς προσόδου αἰτήσασθαι
294 ἢ καί τινων προσόδους πόλεων, ὁ δ' ἀμείβεται τὸν Γάϊον, ὅτι μηδὲ πρότερον κέρδος τὸ
ἀπ' αὐτοῦ καραδοκῶν παρὰ τὰς Τιβερίου ἐντολὰς θεραπεύσειεν αὐτὸν οὔτε νῦν πράσσειν
295 τί τῶν εἰς χάριν ἐκείνου κερδῶν οἰκείων ἐν λήψεσι. μεγάλα δὲ εἶναι τὰ προδεδωρημένα
296 καὶ περαιτέρω τῶν ἐλπίδων". καὶ ὁ Γάϊος ἐκπλαγεὶς τὴν ἀρετὴν αὐτοῦ πλειόνως ἐνέκειτο
εἰπεῖν, ὅ τι χαρίζοιτ' ἂν αὐτῷ παρασχόμενος. ὁ δέ, „ἐπεί περ, ὦ δέσποτα, φησί, δωρεῶν
297 ἄξιον ἀποφαίνεις με, αἰτήσομαί σε τῶν μὲν εἰς ὄλβον φερόντων οὐδέν, ὅ τι δ' ἄν σοι
δόξαν προσποιῇ τοῦ εὐσεβοῦς κἀμοὶ πρὸς εὔκλειαν γένηται. ἀξιῶ σε γὰρ τοῦ ἀνδριάντος
τὴν ἀνάθεσιν, ἣν ποιήσασθαι κελεύεις Πετρώνιον εἰς τὸ Ἰουδαίων ἱερόν, μηκέτι πράσσειν
298 διανοεῖσθαι." καὶ ὁ μὲν καίπερ ἐπικίνδυνον τοῦτο ἡγούμενος, κύβον ἀναριπτεῖν τὸν ἐπ'
299 αὐτοῖς ἡγεῖτο. Γάϊος δὲ ἅμα τῇ θεραπείᾳ τοῦ Ἀγρίππου ἐνειλημμένος καὶ ἄλλως ἀπρεπὲς
300 ὑπολαμβάνων ἐπὶ τοσῶνδε μαρτύρων ψευδὴς γενέσθαι, ἅμα δὲ τοῦ Ἀγρίππου τὴν
ἀρετὴν θαυμάσας, τοῦ κοινοῦ τῆς εὐθυμίας ἐπιμελουμένου καὶ ὑπὲρ τῶν νόμων πρεσ-
301 βεύοντος, συνεχώρει καὶ γράφει πρὸς τὸν Πετρώνιον· „εἰ μὲν φθάνεις τὸν ἀνδριάντα
ἑστακώς, ἑστάτω· εἰ δὲ μήπω πεποίησαι τὴν ἀνάθεσιν, μὴ περαιτέρω κακοπαθεῖν, ἀλλὰ
τόν τε στρατὸν διάλυε καὶ αὐτὸς ἐφ' ἃ τὸ πρῶτον σε ἔστειλα ἄπιθι· οὐδὲν γὰρ ἔτι
δέομαι τῆς ἀναστάσεως τοῦ ἀνδριάντος Ἀγρίππᾳ χαριζόμενος ἀνδρὶ παρ' ἐμοὶ τιμωμένῳ."
302 Γάϊος μὲν δὴ ταῦτα γράφει πρὸς τὸν Πετρώνιον πρότερον ἢ ἐντυχεῖν ταῖς αὐτοῦ ἐπι-
στολαῖς ἐμφαινούσαις ἐπὶ ἀποστασίᾳ τοὺς Ἰουδαίους καταδόξας αὐτοὺς ἐπείγεσθαι, μηδὲν
γὰρ ἕτερον ἀποσημαίνειν τὴν διάνοιαν αὐτῶν, ἀλλὰ πόλεμον ἄντικρυς Ῥωμαίοις ἀπειλεῖν.
303 καὶ περιαλγήσας ἀνὴρ ἐπὶ πᾶσιν ἥσσων μὲν τοῦ αἰσχροῦ, κρείσσων δὲ τοῦ βελτίστου καὶ
304 ἐφ' οἷς κρίνειεν ὀργῇ χρῆσθαι παρ' ὁντινοῦν ἐπειγόμενος, γράφει πρὸς Πετρώνιον· „ἐπειδὴ
δῶρα σοι ὁπόσα Ἰουδαῖοι παρέσχον ἐν μείζονι λόγῳ τῶν ἐμῶν πεποίησαι ἐντολῶν, κελεύω
σε σαυτῷ κριτὴν γενόμενον λογίσασθαι περὶ τοῦ ποιητέου σοι, ἐπεί τοι παράδειγμα
ποιοῖμ' ἄν σε τοῖς τε νῦν πᾶσι καὶ ὁπόσοι ὕστερον γένοιντ' ἄν, μηδαμῶς ἀκυροῦν αὐτο-
305 κράτορος ἀνδρὸς ἐντολάς." ταύτην γράφει Πετρωνίῳ τὴν ἐπιστολήν, οὐ μὴν φθάνει γε
Πετρώνιος ζῶντος ἐκείνου δεξάμενος αὐτὴν βραδυνθέντος τοῦ πλοῦ τοῖς φέρουσιν εἰς
τοσόνδε, ὥστε Πετρωνίῳ γράμματα πρὸ αὐτῆς ἀφικέσθαι, δι' ὧν μανθάνει τὴν Γαΐου
306 τελευτήν. θεὸς γὰρ οὐκ ἄρα ἀμνημονήσειν ἔμελλε Πετρωνίῳ κινδύνων, οὓς ἀνειλήφει ἐπὶ
307 τῇ τῶν Ἰουδαίων χάριτι καὶ τιμῇ τῇ αὐτοῦ. καὶ τελευτᾷ μὲν ὁ Γάϊος οὐ μετ' οὐ πολὺν
χρόνον τοῦ γράψαι Πετρωνίῳ τὴν ἐπὶ τῷ θανεῖν ἀνακειμένην ἐπιστολήν.

5 ἐλελειμμένα Busb. — 7 μηδὲ] μὴ Berol. — 9 μεγάλη Berol. — προσδεδωρημένα Busb. — 10 ἐνέκειτο] ἐνενέγκαιτο Berol. — 13 ἀδριάντος Berol. — 14 εἰς] εἰ Berol. — 16 ἡγεῖται Berol. — 20 ἕστηκας Berol. — παραιτέρω Berol. — 23 τὸν om. Busb. — 26 περιάλκήσας Berol. — 26 πᾶσι μὲν ἥσσων tr. Busb. — 27 κρίνοιεν Busb. — 33 τὸν σόνδε Berol. — τὴν] τοῦ Berol.



Γίνεται δὲ καὶ περὶ τοὺς ἐν τῇ Μεσοποταμίᾳ καὶ μάλιστα τὴν Βαβυλωνίαν 310
οἰκοῦντας Ἰουδαίους συμφορὰ δεινὴ φόνος τε αὐτῶν πολύς, περὶ ὧν διηγήσομαι.
Νεερδὰ τῆς Βαβυλωνίας ἐστὶ πόλις ἄλλως τε πολυανδροῦσα καὶ χώραν ἀγαθὴν καὶ 311
πολλὴν ἔχουσα. ἔστι δὲ καὶ πολεμίοις οὐκ εὐέμβολος περιόδῳ τε τοῦ Εὐφράτου πᾶσαν
ἐντὸς αὐτὴν ἀπολαμβάνοντος καὶ κατασκευαῖς τειχῶν. ἔστι δὲ καὶ Νίσιβις πόλις κατὰ 312
τὸν αὐτὸν τοῦ ποταμοῦ περίρρουν, ὅθεν Ἰουδαῖοι τῇ φύσει τῶν χωρίων πεπιστευκότες τό
τε δίδραχμον, ὃ τῷ θεῷ καταβάλλειν ἑκάστοις πάτριον, ταύτῃ κατετίθεντο καὶ ὁπόσα
ἄλλα ἀναθήματα, ἐχρῶντο δὲ ὥσπερ ταμείῳ ταῖσδε ταῖς πόλεσιν. ἐντεῦθεν δ' ἐπὶ Ἱερο- 313
σολύμων ἀνεπέμποντο ᾗ καιρός. ἦσαν δὲ Ἀσιναῖος καὶ Ἀνιλαῖος Νεερδᾶται μὲν τὸ γένος, 314
ἀλλήλων δὲ ἀδελφοί. καὶ αὐτοὺς ἡ μήτηρ, πατρὸς γὰρ ἦσαν ὀρφανοί, προσέταξεν ἱστῶν
μαθήσει ποιήσεως, οὐκ ὄντος ἀπρεποῦς τοῖς ἐπιχωρίοις ὥστε τοὺς ἄνδρας ταλασιουργεῖν.
τούτοις ὁ τοῖς ἔργοις ἐφεστώς, παρ' ᾧ καὶ ἐμεμαθήκεσαν, βραδυτῆτα ἐπικαλέσας τῆς
ἀφίξεως ἐκόλασε πληγαῖς. οἱ δὲ ἐφ' ὕβρει τὴν δικαίωσιν λογιζόμενοι, κατασπάσαντες τῶν 315
ὅπλων πολλὰ ὁπόσα ἦν ἐπὶ τῆς οἰκίας φυλασσόμενα ᾤχοντο εἴς τι χωρίον, διάρρηξιν μὲν
ποταμῶν ποιούμενον, νομὰς δὲ ἀγαθὰς παρασχεῖν πεφυκός. συνῄεσάν τε ὡς αὐτοὺς
τῶν νέων οἱ ἀπορώτατοι, καὶ τούτους τοῖς ὅπλοις φραγνύντες στρατηγοί τε ἦσαν καὶ τῶν
κακῶν ἡγεμόνες. προελθόντες γὰρ ἐπὶ τὸ ἄμαχον καὶ κατασκευάσαντες ἀκρόπολιν 316
διέπεμπον πρὸς τοὺς νέμοντας φόρον αὐτοῖς κελεύοντες καταβάλλειν, προστιθέντες φιλίαν
τε πειθομένοις καὶ ἄμυναν τῶν ἀλλαχόθεν ποθὲν πολεμίων. σφαγὰς δὲ τῶν ποιμνίων
ἀπειθοῦσιν. οἱ δὲ ἠκροῶντο καὶ τῶν προβάτων ἔστελλον ὁπόσα κελευσθεῖεν, ὥστε δὴ 317
καὶ πλείων αὐτοῖς συλλέγεται ἰσχύς. καὶ ἦσαν φροβεροὶ καὶ τοῖς πειρασομένοις, ὥστε δὴ
προὔκοπτε λόγος περὶ αὐτῶν κἀπὶ τοῦ Πάρθων βασιλέως. ὁ δὲ τῆς Βαβυλωνίας σατράπης 318
μαθὼν ταῦτα, συλλέξας στρατὸν ὅσον ἠδύνατο ἤλασε πρὸς αὐτούς. περικαθίσας δὲ τὸ 319
ἕλος ἡσύχαζε, καὶ κατὰ τὴν ἐπιοῦσαν, ἦν δὲ σάββατον, οἰόμενος οὐ τολμήσειν ἀντιστατή-
σειν αὐτῷ τοὺς πολεμίους κατὰ βραχὺ προσῄει χρῄζων αἰφνίδιον ποιεῖσθαι τὴν ἐπίπτωσιν.
Ἀσιναῖος δὲ ἐτύγχανε σὺν ἑτέροις καθεζόμενος καὶ φησίν „ἄνδρες, χρεμετισμός μοι ἵππων 320
προσέπεσεν αἰσθάνομαί τε καί τινος ἀνακρούσεως χαλινῶν· ἀλλά τις προσίτω κατόπτης
ἀπαγγελίαν ἡμῖν σαφῆ τῶν ἐνεστηκότων ποιησόμενος." καὶ ᾤχοντό τινες προσκοποῦντες 321
καὶ ᾗ τάχος παρελθόντες, „περιειλήμμεθα δόλῳ, ἔλεγον, τοσῆσδε ἵππου ἐπελαυνούσης 322
ἡμῖν ἐν ἀπορίᾳ χειρῶν κειμένοις διὰ τὸ κατειργάσθαι προαγορεύσει τῶν πατρίων εἰς τὸ
ἀργεῖν." Ἀσιναῖος δὲ νομιμώτερον ἡγησάμενος τοῦ ἐπ' ἀπράκτοις τελευτῶν εὐφραίνειν τοὺς 323
πολεμίους τὸ ἀλκῇ δεξάμενος αὐτοὺς ὑπὲρ τῆς ἀνάγκης ἐς ἣν ἐνεπεπτώκει παρανομεῖν,
αὐτός τε λαμβάνει τὰ ὅπλα καὶ τοῖς σὺν αὐτῷ θάρσος ἐνεποίει τῆς ἐπὶ τὰ ὅμοια ἀρετῆς.
ὁμόσε οὖν ἴασι τοῖς πολεμίοις, καὶ πολλοὺς κτείναντες αὐτῶν εἰς φυγὴν τρέπονται τοὺς 324
λοιπούς. ὁ δὲ τῶν Πάρθων βασιλεὺς τὰ τῆς μάχης μαθὼν καὶ ἐκπλαγεὶς ἐπὶ τῷ τολμή- 325
ματι τῶν ἀδελφῶν ἐπεθύμησεν αὐτοῖς ἐλθεῖν διά τε ὄψεως καὶ λόγων, καὶ πέμπει τὸν

2 ἰουδαίων Berol. — 3 ἐστὶ] ἐπὶ Berol. — 4 εὐσέμβολος man. 1 Busb. ἐμβέβολος Berol. — 7 ταύτην Berol. — 9 Νεερδᾶται] νεερδὰ τὰ Berol. — 11 οὐκ οὖντος Berol. — 12 ἐμμεμαθήκεσαν Busb. — 16 ἀπειρώτατοι Berol. — φραγύντες Berol. — 17 προσελ- θόντες Busb. — 20 ἔστελλον] ἔπεμπον Busb. — 23 παρακαθέσας Berol. — 27 ἐκκρούσεως Berol. — 28 ἡμῖν om. Busb. — 28 προσσ κοποῦντες Berol. — 29 ᾗ] οἱ Busb. — 31 δὲ om. Busb. — 32 παρομεῖν Berol. — 33 ἐπὶ] περὶ Berol.

*ἀναδίδασκεν αὐτοὺς μὴ καλῶς ἔχειν ἀναιρεῖν ἄνδρα γένους τὲ ὄντα τοῦ πρώτου παρὰ*
358 *Πάρθοις καὶ ἐπιγαμίᾳ τῇ πρὸς τὸν βασιλέα μειζόνως τιμώμενον· νῦν μὲν γὰρ ἀνεκτὰ*
*εἶναι τὰ πεπραγμένα· καὶ γὰρ εἰ περιύβρισται Μιθριδάτης, ἀλλ' οὖν σωτηρίᾳ τῆς ψυχῆς*
359 *εὐεργετούμενος μεμνήσεται χάριτος τοῖς τοιάδε παρασχοῦσι, παθόντος δέ τι ἀνήκεστον*
*οὐκ ἀτρεμήσειν βασιλέα μὴ οὐ μεγάλην σφαγὴν Ἰουδαίων τῶν ἐν Βαβυλῶνι ποιησόμενον,*
360 *ὧν φείδεσθαι καλῶς ἔχοι διά γε τὴν συγγένειαν. καὶ ὁ μὲν ταῦτ' ἔφρασε καὶ ἀφίεται*
361 *Μιθριδάτης, ἐλθόντα δὲ αὐτὸν ὠνείδιζεν ἡ γυνὴ καὶ θεοὺς ἐπώμνυτο ἦ μὴν*
*παραλυθήσεσθαι τῆς πρὸς αὐτὸν ἐπὶ γάμῳ κοινωνίας, εἰ μὴ προθυμήσεται τιμωρή-*
362 *σασθαι τοὺς ὑβρίσαντας εἰς αὐτόν. ὁ δὲ ἄκων μὲν συνάγει δ' οὖν στρατὸν ὅσον*
363 *ἠδύνατο καὶ ἤλαυνε κατὰ Ἀνιλαίου. ἐκεῖνος δὲ μαθὼν εἰσελαύνοντα τὸν Μιθριδάτην*
365 *δυνάμει πολλῇ εὐτυχίᾳ θαρρήσας τῇ πρότερον ἐξῆγε τὴν δύναμιν. προϊοῦσι δ' αὐτοῖς εἰς*
*σταδίους ἐνενήκοντα δι' ἀνύδρου τῆς πορείας γενομένης καὶ μεσημβρίας οὔσης περιῆν τὸ*
366 *δίψος καὶ Μιθριδάτης ἐπιφανεὶς προσέβαλε τεταλαιπωρημένοις ἀπορίᾳ τοῦ πιεῖν. τροπὴ*
*τὲ οὖν γίνεται τῶν περὶ τὸν Ἀνιλαῖον αἰσχρὰ καὶ φόνος πολύς, Ἀνιλαῖος δὲ καὶ ὅσον περὶ*
367 *αὐτὸν ἦν συνεστηκὸς ὑπὸ τὴν ὕλην ἐπανεχώρουν φυγῇ. Ἀνιλαίῳ δὲ αὖθις προσῄει πλῆθος*
*ἀνδρῶν πονηρῶν δι' ἀπορίαν ἐν ὀλίγῳ ποιουμένων τὴν σωτηρίαν, ὥστε ἀντανίσωμα τούτους*
368 *γενέσθαι τοῦ πλήθους τῶν ἀπολωλότων. ἐπιφοιτᾷ οὖν ταῖς κώμαις τῶν Βαβυλωνίων*
369 *ἀνάστατά τε ἦν πάντα ὑπὸ τῆς Ἀνιλαίου ὕβρεως. καὶ Βαβυλώνιοι καὶ οἱ ὄντες ἐν τῷ*
*πολέμῳ πέμπουσιν εἰς τὴν Νεερδὰ πρὸς τοὺς ἐν αὐτῇ Ἰουδαίους Ἀνιλαῖον ἐξαιτούμενοι,*
*καὶ μὴ δεξαμένοις τοῦτον τὸν λόγον, οὐδὲ γὰρ βουλομένοις ἔκδοτον παρασχεῖν δύναμις ἦν,*
*εἰρήνην προεκαλοῦντο· οἱ δὲ καὐτοὶ χρῄζειν ἔλεγον τῶν ἐπὶ τῆς εἰρήνης συμβάσεων καὶ*
370 *πέμπουσι μετὰ τῶν Βαβυλωνίων ἄνδρας, οἳ διελέγοντο πρὸς τὸν Ἀνιλαῖον. οἱ δὲ*
*Βαβυλώνιοι κατοπτείας αὐτοῖς γενομένης μαθόντες τὸ χωρίον, ἐν ᾧ ἱδρυμένος*
*Ἀνιλαῖος ἦν, ἐπιπεσόντες κρύφα νυκτὸς μεθύουσι κτείνουσιν ἀδεῶς πάντας ὅσους*
371 *ἐγκατέλαβον καὶ Ἀνιλαῖον αὐτὸν [κατέλαβον] οἱ Βαβυλώνιοι. οἱ δὲ ἀπαλλαγέντες τῆς*
*Ἀνιλαίου βαρύτητος, ἐπιστόμισμα γὰρ ἦν αὐτῶν μίσει τῷ πρὸς Ἰουδαίους, ἀεὶ γὰρ ὡς*
*ἐπὶ πολὺ διάφοροι καθεστήκεσαν αἰτίᾳ τῆς ἐναντιώσεως τῶν νόμων, ἐπετίθεντο τοῖς Ἰου-*
372 *δαίοις. οἱ δὲ ἐν δεινῷ τιθέμενοι τὴν ὕβριν τὴν ἐκ τῶν Βαβυλωνίων καὶ μήτε ἀντι-*
*τάξασθαι μάχῃ δυνάμενοι μήτε ἀνεκτὴν ἡγούμενοι τὴν συνοικίαν, ᾤχοντο εἰς Σελεύκειαν,*
*πόλιν Σελεύκου τοῦ Νικάνορος. οἰκοῦσι δ' αὐτὴν πολλοὶ μὲν Μακεδόνων, πλεῖστοι δ'*
373 *Ἕλληνες, ἔστι δὲ καὶ Σύρων οὐκ ὀλίγον τὸ ἐμπολιτευόμενον. εἰς ταύτην καταφυγόντες Ἰου-*
*δαῖοι ἐπὶ πέντε ἔτη ἀπαθεῖς κακῶν ἦσαν, τῷ δὲ ἕκτῳ ἔτει μετὰ τὸ πρῶτον φθορὰ ἐν*
*Βαβυλῶνι ἐγένετο αὐτῶν, ἐκδέχεται δὲ αὐτοὺς μείζων συμφορὰ δι' αἰτίαν, ἣν ἀφηγήσομαι.*
374 *Σελευκέων τοῖς Ἕλλησι πρὸς τοὺς Σύρους ὡς ἐπὶ πολὺ ἐν στάσει καὶ διχονοίᾳ ἐστὶν ὁ*
*βίος, καὶ κρατοῦσιν οἱ Ἕλληνες. τότε οὖν συνοικούντων αὐτοῖς Ἰουδαίων ἐστασίαζον, καὶ*
375 *οἱ Σύροι καθυπέρτεροι ἦσαν ὁμολογίᾳ τῇ Ἰουδαίων πρὸς αὐτούς. καὶ οἱ Ἕλληνες περιω-*

1 *ἀνεδίδρασκεν* Berol. — 6 *γε*] *τε* Berol. — 9 *ὑβρίσαντος* sic Busb. — 11 *εὐτυχέα* Berol. — 12 *ἐννενήκοντα* Busb. — 15 inde a § 367 collatus est cod. Laurentianus praeter Busb. Berol. — 18 *βαβυλώνιος* Berol. — 19 *τὴν νεερδὰν* Busb. *τὸ νεερδὰ* Borol. — 22 *πρὸς τὸν*] *πρὸς τὸ πρὸς τὸν* Berol. — 23 litt. *οι κατοπτείας αὀτοῖς γενομένης* i. ras. Berol. — 25 *κατέλαβον*] om. Berol. *ἀπέλαβον* Laur. — 26 *βαρύτατος* Berol. — 30 *δὲ* Berol. Laur.



*θούμενοι τῇ στάσει καὶ μίαν ὁρῶντες αὐτοῖς ἀφορμὴν τοῦ ἀνασώσασθαι τὸ πρότερον*
*ἀξίωμα, εἰ δυνηθεῖεν παῦσαι ὁμονοοῦντας Ἰουδαίους καὶ Σύρους, διελέγοντο ἕκαστοι πρὸς*
*τῶν Σύρων τοὺς αὐτῶν συνήθεις πρὸ τοῦ γεγονότας εἰρήνην τὲ καὶ φιλίαν ὑπισχνούμενοι.*
*οἱ δὲ ἐπείθοντο ἄσμενοι. ἐγίνοντο οὖν ἀφ' ἑκατέρων λόγοι καὶ τάχιστα ἡ σύμβασις ἐκτε-* 376
*τέλεστο, ὁμονοήσαντές τε μέγα τεκμήριον ἑκάτεροι εὐνοίας ἀλλήλοις ἠξίουν παρασχεῖν τὸ*
*πρὸς Ἰουδαίους ἔχθος, ἐπιπεσόντες τὲ αἰφνίδιον αὐτοῖς κτείνουσι μυριάδας ὑπὲρ πέντε*
*ἀνδρῶν, ἀπώλοντό τε πάντες πλὴν εἴ τινες ἐλέῳ φίλων ἢ γειτόνων τὸν ὄλεθρον ἔφυγον.*
*τούτοις δὲ ἦν εἰς Κτησιφῶντα ἀποχώρησις, πόλιν Ἑλληνίδα τῆς Σελευκείας πλησίον κει-* 377
*μένην, ἔνθα χειμάζει τὲ ὁ βασιλεὺς κατὰ πᾶν ἔτος καὶ ἡ πλείστη τῆς ἀποσκευῆς αὐτοῦ*
*τῇδε ἀποκειμένη τυγχάνει. ἐφοβήθη δὲ καὶ πᾶν τὸ τῶν Ἰουδαίων γένος τούς τε Βαβυ-* 378
*λωνίους καὶ τοὺς Σελευκεῖς καὶ συνελέγησαν ὡς τὸ πολὺ εἴς τε Νεερδὰν καὶ τὴν Νίσιβιν* 379
*ὀχυρότητι τῶν πόλεων κτώμενοι τὴν ἀσφάλειαν. καὶ τὰ μὲν κατὰ Ἰουδαίους τοὺς ἐν*
*Βαβυλωνίᾳ κατῳκημένους τοιαῦτα ἦν.*

## *Φλαυίου Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιολογίας λόγος ιθ'.*

*περιέχει δὲ ὁ λόγος χρόνον ἐτῶν τριῶν μηνῶν ἕξ.*

*Γάϊος δὲ οὐκ εἰς μόνους Ἰουδαίους τοὺς ἐν Ἱεροσολύμοις καὶ τοὺς ὁπόσοι τῇδε*
*οἰκοῦσιν ἐπεδείκνυτο τῆς ὕβρεως τὴν μανίαν, ἀλλὰ διὰ πάσης γῆς καὶ θαλάσσης ἔστελλεν*
*αὐτήν, ὁπόση Ῥωμαίοις ὑπακούει. μάλιστα δὲ ᾐσθάνετο τοῦ δεινοῦ τῶν πρασσομένων* 2
*ἡ Ῥώμη κατ' οὐδὲν αὐτὴν τιμιωτέραν τῶν λοιπῶν πόλεων ἡγουμένου, ἀλλὰ τούς τε ἄλλους*
*ἄγοντος καὶ φέροντος καὶ μάλιστα τὴν σύγκλητον καὶ ὁπόσοι τούτων εὐπατρίδαι καὶ προ-*
*γόνων ἐπιφανείαις τιμώμενοι. μυρία δὲ εὑρίσκετο καὶ κατὰ τῶν ἱππέων καλουμένων,* 3
*ἀξιώματι δὲ καὶ δυνάμει χρημάτων ὅμοια τοῖς συγκλητικοῖς ὑπὸ τῆς πόλεως ἀγομένων διὰ*
*τὸ ἐκ τούτων εἰς τὴν βουλὴν εἶναι κατακλήσεις· ὧν ἀτίμωσις ἦν καὶ μετανάστασις κτεινο-*
*μένων τὲ καὶ τὰ χρήματα συλωμένων διὰ τὸ καὶ τὰς σφαγὰς ὡς τὸ πολὺ ἐπ' ἀφαιρέσει*
*τῶν χρημάτων αὐτοῖς συντυγχάνειν. ἐξεθείαζε δ' ἑαυτὸν καὶ τὰς τιμὰς οὐκέτι ἀνθρω-* 4
*πίνως ἠξίου γίνεσθαι παρὰ τῶν ὑπηκόων αὐτῷ· εἴς τε τοῦ Διὸς φοιτῶν τὸ ἱερόν, ὃ*
*Καπιτώλιον μὲν καλοῦσι, τιμιώτατον δ' ἄρα αὐτοῖς ἐστι τῶν ἱερῶν, ἀδελφὸν ἐτόλμησε*
*προσαγορεύειν τὸν Δία, καὶ τἆλλα ἔπρασσε μανίας οὐδὲν ἀπολελειμμένος· ἐπεὶ καὶ ἀπὸ* 5
*Δικαιαρχίας τῆς πόλεως ἐν Καμπανίᾳ κειμένης εἰς Μεσηνοὺς ἑτέραν πόλιν ἐπιθαλάσσιον,*
*τὴν διάβασιν δεινὸν ἡγούμενος τριήρει περατοῦν, καὶ ἄλλως ἐπιβάλλειν ἡγούμενος αὐτῷ* 6
*δεσπότῃ ὄντι θαλάσσης ταῦτα ὁποῖα καὶ παρὰ γῆς ἀπαιτεῖν, ἀπ' ἄκρων ἐπ' ἄκρα*
*σταδίους τριάκοντα μέτρον τῆς θαλάσσης ζεύξας καὶ εἴσω τὸν κόλπον ἀπολαβὼν πάντα,*

1 *ἀναλάσασθαι* Busb. — 2 *εἰ συνηθεῖεν* Berol. — *ὁμονοοῦντας*] *ταὐτὸν λέγοντας* Iosephus ex coniectura *τὸν λέγοντα* Iosephi codd. — 4 *ἐπύθοντο* Busb. — *ἐκτέλεστο* Berol. — 11 *τὴν ἴσιβιν* Berol. — 13 *κατῳκημένους*] *κτωμένους* Busb. — per librum XIX collatus est cod. Laurentianus praeter Busb. et Berol. — 14—15 titulus abest a Busbekiano. — 14 *ἰουδαϊκῶς* Berol. — *λόγος* om. Berol. — 15 *τριῶν*] *γ'* Laur. — 21 *δὲ*] *τε* Laur. — *εὑρίσκεται* Berol. — 24 *συλομένων* Busb. — *τὸ καὶ*] *τοὺς* Berol. — 25 *δὲ αὐτὸν* Busb. *δὲ ἑαυτὸν* Laur. — 27 *ἐστι* om. Berol.

ἤλαυνεν ἐπὶ τῇ γεφύρᾳ τὸ ἅρμα· θεῷ γὰρ ὄντι τοιαύτας ποιεῖσθαι καλῶς ἔχειν τὰς ὁδούς.
7 τῶν τε ἱερῶν τῶν Ἑλληνικῶν οὐδὲν ἔτι ἀσύλητον κατέλιπεν, ὁπόσα γραφῆς ἢ γλυφῆς
ἐχόμενα καὶ τὰς λοιπὰς κατασκευὰς ἀνδριάντων καὶ ἀναθημάτων ἄγεσθαι κελεύσας παρ'
αὐτόν· οὐ γὰρ ἐν ἑτέρῳ τὰ καλὰ κεῖσθαι καλῶς ἔχειν ἢ ἐν τῷ καλλίστῳ, τυγχάνειν δὲ
8 τοῦτο οὖσαν τὴν Ῥωμαίων πόλιν. ἐκόσμει δὲ τοῖς ἐνθένδε ἀγομένοις τήν τε οἰκίαν καὶ
τοὺς κήπους ὁπόσαι τε αὐτῷ καταγωγαὶ διὰ τῆς τῶν Ἰταλῶν γῆς. ἐπεὶ καὶ τὸν Ὀλύμπιον
τιμώμενον Δία ὑπὸ τῶν Ἑλλήνων καὶ οὕτως ὠνομασμένον Ὀλύμπιον Φειδίου τοῦ Ἀθηναίου
9 πεποιηκότος ἐτόλμησε κελεῦσαι εἰς τὴν Ῥώμην μεταφέρειν. οὐ μὴν ἔπραξέ γε τῶν ἀρχι-
τεκτόνων φαμένων πρὸς Μέμμιον Ῥίγλον, ὃς ἐπετέτακτο τῇ κινήσει τοῦ Διός, ἀπολεῖσθαι
τὸ ἔργον κινήσεως αὐτοῦ γενομένης. λέγεται δὲ τὸν Μέμμιον διὰ ταῦτα καὶ σημείων
10 μειζόνων γινομένων, ἢ ὡς ἄν τινα μὴ πιστὰ ἡγεῖσθαι, ὑπερβαλέσθαι τὴν ἀναίρεσιν. καὶ
γράφει τάδε πρὸς τὸν Γάϊον ἐπ' ἀπολογίᾳ τοῦ ἐκλιπεῖν ἀδιακόνητον τὴν ἐπιστολήν, ἀπο-
λέσθαι τε αὐτῷ ἐκ τούτων κινδύνου γενομένου σώζεται φθάσαντος ἤδη Γαΐου τελευτῆσαι.
11 εἰς τοῦτο δὲ προὔβη τὸ μανικὸν αὐτῷ, ὥστε καὶ θυγατρὸς αὐτῷ γενομένης ἀνακομίσας
ἐπὶ τὸ Καπετώλιον ἐπὶ τοῖς γόνασιν ἀνατίθεται τοῦ ἀγάλματος, κοινὸν αὐτῷ τὲ καὶ τῷ
Διὶ γεγονέναι τὸ τέκνον φάσκων καὶ δύο χειροτονεῖν αὐτῆς πατέρας, ὁπότερον μείζονα
12 φάμενος ἐν μέσῳ καταλιμπάνειν. καὶ τάδε ἠνείχοντο πράσσοντος αὐτοῦ οἱ ἄνθρωποι.
ἐπεχείρησε δὲ καὶ τοῖς οἰκέταις κατηγορίας ποιεῖσθαι τῶν δεσποτῶν ἐφ' οἷστισιν ἐθελήσειεν
ἐγκλήμασι· δεινὰ γὰρ ἦν, ὁπόσα μέλλοι λέγεσθαι, διὰ τὸ χάριτί τε καὶ ὑπαγορεύσει
13 τῇ ἐκείνου τὰ πολλὰ γίνεσθαι, ὥστε ἤδη καὶ Κλαυδίου ἐτόλμα ποιήσασθαι Πολυδεύκης
ὁ δοῦλος κατηγορίαν, καὶ Γάϊος ἠνείχετο κατὰ πατρῴου τοῦ αὐτοῦ δίκης θανάτου λεγο-
μένης ἐπ' ἀκροάσει συνελθεῖν ἐλπίδι τοῦ παραλαβεῖν δύναμιν ἀνελεῖν αὐτόν. οὐ μὴν
14 ἐξεγένετό γε αὐτῷ. ἀναπεπληκότι δὲ αὐτῷ συκοφαντιῶν καὶ κακῶν πᾶσαν τὴν οἰκου-
μένην, ἧς ἐπῆρχε, καὶ πολλὴν τὴν δουλοκράτειαν ἐπηρμένου τοῖς δεσπόταις ἐπιβουλαῖς τὰ
πολλὰ ἤδη συνίσταντο, τῶν μὲν ἐπ' ἀμύνῃ ὧν πάθοιεν ὀργὴν ποιουμένων, τῶν δὲ πρὶν
ἐμπεσόντες κακῶν τυχεῖν μεγάλων τιθεμένων τὸ μεταχειρίσασθαι τὸν ἄνθρωπον.
17 Ὁδοὺς δὲ τρεῖς ὁ θάνατος αὐτοῦ παρεσκευάζετο καὶ τούτων ἑκάστης ἄνδρες ἀγαθοὶ
τὴν ἡγεμονίαν εἶχον. Αἰμίλιός τε Ῥίγλος ἐκ Κορδύβης τῆς ἐν Ἰβηρίᾳ γένος συνεῖχε τινὰς
18 ἢ δι' ἐκείνων ἢ δι' αὐτοῦ πρόθυμος ὢν ἄρασθαι Γάϊον. ἑτέρα δὲ αὐτοῖς συνεκροτεῖτο,
ἧς Χαιρέας Κάσσιος χιλίαρχος ἡγεμὼν ἦν. Μινουκιανὸς δὲ Ἄννιος οὐκ ὀλίγη μοῖρα τῶν
ἐπὶ τὴν τυραννίδα παρεσκευασμένων ἦν. αἰτία δ' αὐτοῖς μίσους τοῦ πρὸς Γάϊον ἄλλῳ
22 ἄλλη. οἱ δὲ καὶ πᾶσι κοινῇ προτεθῆναι τὴν ἐπὶ τῷ πράγματι σκέψιν φασί, τήν τε ὕβριν
23 θεωμένοις καὶ ἐπιθυμοῦσι διαφυγεῖν ἀραμένοις τὸν Γάϊον. παρὰ πάντας δὲ Χαιρέαν
ἐπείγεσθαι ὀνόματός τε ἐπιθυμίᾳ μείζονος καὶ ἄλλως ὑπὸ τοῦ ἀδεέστερον προσιέναι τῷ
24 Γαΐῳ διὰ τὴν χιλιαρχίαν ῥᾳστώνης αὐτῷ κτείνειν ἐσομένης. ἐν τούτῳ δὲ ἱπποδρομίαι
ἦσαν· σπουδάζεται γὰρ Ῥωμαίοις ἥδε ἡ θεωρία δεινῶς, συνίασι δὲ προθύμως εἰς τὸν

3 παρ' αὐτῷ Busb. Laur. — 5 τὴν] τὴν τῶν Busb. — δὲ (δ in ras.) Berol. τε Laur. — 10 καὶ σημείων supra versum Berol. — 14 γινομένης Busb. — 16 ὁπότερα Busb. Laur. — 17 καταλιμπάνει Busb. — 19 μέλλει Busb. — 23 δὲ αὐτῷ] δὲ αὐτοὺ sic Berol. — 24 ὑπῆρχε Berol. — 28 αἰμόλιός Berol. — 30 ἄννιος Laur. — 34 τοῦ δεέστερον Berol. — 36 σπουδάζεται] καὶ σπουδάζεται Busb. Laur.



Hactenus antiqua historia. Voto autem finiendum volumen sit. Superest enim ut dies festissimus publice indicatur. **Imperatoris Regis Augustissimi** festum natalem civibus universis laetissimum mox celebrabit haec Academia Deumque optimum maximum, auctorem ac statorem Germanici nominis, publica voce precabitur, ut custodiat servet protegat hunc imperii statum, hanc pacem, huius amatissimi denique Principis iuventutem eumque semper validum sapientem felicem longissima statione uti sinat mortalibus destinata civiumque omnium consilia pia foveat, opprimat impia. Quorum votorum sollemnium interpres in Vniversitatis aula existet vir illustrissimus

# CAROLVS FRAENKEL

MEDICINAE DOCTOR HYGIENES PROFESSOR PUBLICUS ORDINARIUS
INSTITUTI HYGIENICI DIRECTOR

doctam ex more disputationem votis adnexurus. Cumque ad diem hunc anniversarium pertineat ut studiorum praemia, quae Academia certantibus iuvenibus tribuit, renuntientur novaque praemia proponantur, hoc quoque mandatum exsequetur idem vir spectatissimus. Haec pietatis sollemnia professores ornatissimi, iuvenes artium doctarum studiosi carissimi, viri denique in quocumque honoris gradu collocati, quotquot huic favent Academiae, ut frequentes ac laeti concelebrent oratoremque benigne excipiant, Rectore magnifico invitante ea qua par est observantia oramus.